III 7 v. etiam G. F. Unger, Philologus 38, 1879, 426, ibid. Suppl. 5, 1889, 672; A. Wilhelm, GGA 160, 1898, 221; id., AE 1905, 216; id. Öst. Jahresh. 10, 1907, 34; Dttb. Syll.³ 288; Austin, Stoichedon Style 46; Tod, GHI nr. 198; J. Pouilloux, Choix d'inscriptions grecques, Paris 1960, nr. 6. – de aetate v. etiam Dinsmoor, Archons of Athens 370. 413; Pritchett-Neugebauer, Calendars of Athens 50. 64; Meritt, Athenian Year 92–94

ἐ[ν|δ]εκά[τ]ηι Θαργηλιῶνος, ἐνάτη[ι| κ]αὶ δ[ε]κάτηι τῆς πρυτανείας· ||[τ]ῶν π[ρ]οέδρων ἐπεψήφιζεν Ἀρ[ιστο]||φάνη[ς] Εὐωνυμεύς· ἔδοξεν τῶι ||[δήμωι]· Λυκοῦργος Λυκόφρονος||[Βουτά]δης εἶπεν· ἐπειδὴ vacat||*[Εὔδημ]ος πρότερόν τε ἐπη[γ]γ[εί|λατο τ]ῶι δήμωι ἐπιδώσει[ν εἴ]ς||[τὸν π]όλεμον εἴ τ[ι] δέ[οι]το* [XXX]||X *[δ]ραχμάς, καὶ νῦν [ἐπ]ι[δέδ]ω[κεν]|| εἰς τὴν ποίησιν τοῦ σταδ[ί]ου | καὶ τοῦ θεάτρου τοῦ Παναθη[ναϊ]||κοῦ χίλια ζεύγη, καὶ ταῦτα | πέπομφεν ἅπαντα π[ρὸ Π]αναθη||ναίων καθὰ ὑπέσ[χετο, δ]εδόχθ[αι]|| τῶι δήμωι ἐπαι[νέσαι Ε]ὔδημ[ον | Φι]λούργου Πλατα[ιέα] καὶ σ[τε]||φανῶσαι αὐτὸν θαλλο̄ στεφ[άνωι]|| εὐνοίας ἕνεκα τῆς εἰς τὸν || δῆμον τὸν Ἀθηναίων, καὶ εἶν[αι]|| αὐτὸν ἐν τοῖς εὐεργέταις το[ῦ]|| δήμου τοῦ Ἀθηναίων [α]ὐτὸν κα[ὶ] | ἐκγόνους, καὶ ε[ἶν]α[ι] αὐτῶι* vacat | *ἔνκτησιν γῆς καὶ ο[ἰ]κ[ί]ας καὶ|| στρατεύεσθαι αὐτὸν τὰς* vacat| *στρατιὰς καὶ τὰς εἰσφορὰς* vacat | *εἰσφέρειν μετὰ Ἀθηναίων.* vacat | *Ἀναγράψαι [δ]ὲ τόδε τὸ ψήφισμα | τὸν γραμματέα τῆς βουλῆς καὶ || στῆσαι ἐν ἀκρ[ο]πόλει, εἰ[ς] δ[ὲ] τ[ὴν] | ἀνα-*

Omnes fere viri docti in v. **7** *δεκάτηι* pro *εἰκοστῆι* errore lapicidae scriptum esse putant; cf. IG II^2 352 et v. Dittenberger in Syll.^{3} 288 n. 2, Dinsmoor, Archons of Athens 370. 413 || **13 s.** 'ea pecunia non est soluta, quoniam ne bellum quidem (a. 330, Schäfer, Demosth.^{2} 3, 184 ss.) re vera gestum est.' Bl. de hoc bello statuendo cf. Dttb. Syll.^{3} 288; Tod, GHI nr. 198 'The war may, I think, be that against Philipp which ended at Chaeronea.' || **17** 'Dttb. olim secutus Curtium, Philologus 24, 1866, 273 errore lapicidae verborum ordinem turbatum esse statuit, cum dici deberet *τοῦ σταδίου τοῦ Παναθηναϊκοῦ καὶ τοῦ θεάτρου*. at nihil mutandum est, siquidem *θέατρον* ea pars stadii intellegenda est, in qua spectatores sedent; W. Dörpfeld-E. Reisch, Griech. Theater, Athen 1896, 282; Wilhelm, GGA 160, 1898, 221' Kirchner ap. Syll.^{3} || **18** *χίλια ζεύγη*] exaequat drachmarum milia quattuor; G. Glotz, REG 36, 1923, 26 'le prix rond à la journée était généralement de 4 dr.'; v. etiam Tod, GHI 2, 279; A. M. Woodward, JHS 68, 1948, 161, qui confert ad tit. IG II^2 1637, 60 ss. || **23** *θαλλο̄* cf. supra *Λυκο̄ργος* nr. 5 v. 31 et v. Buck, Greek Dialects § 34 || **31** *στρατιάς* (= *στρατείας*), IG II^2 516, 2 [*τὰ*]*ς στρατι*[*ὰς στρατεύεσθαι* ...]; Aristoph. Equ. 587, Vesp. 354. 557, Lys. 592, Thesm. 828 (cf. etiam Schol. ad loc.); Arist. *Ἀθ. πολ.* 37, 1; Bk. *λέξ. ῥητ.* 285, 5; cf. Meisterhans^3 55, 31 et n. 473; C. C. Charitonides, *Ποικίλα Φιλολογικά* 1, Athenis 1904, 533–540

γραφὴν τῆς στήλη[ς δοῦ]να[ι]| τὸν ταμίαν τοῦ δήμ[ου: ΔΔΔ]| δραχμὰς ἐκ τῶν εἰς τὰ κα[τὰ ψη]|φίσματα ἀναλισκο-
40 *μέ[νων τῶι]|| δήμωι.*

8. Rogationes Lycurgi commemorantur etiam in rationibus epistatarum et quaestorum Cereris et Proserpinae, IG II² 1672 (= E. M. 10051, 10048). a. 329/8.

10 ... *π[ρ]ίσις σφηνῶν Ἀρίστωνι ἐν Κ|ολλυτῶι οἰκοῦντι μισθὸς ΔΔ . . . . . ώρωι ἀρχιτέκτονι, ὃ προέλαβεν Λυκούργου κελεύσαντος, τῆς προτ|ανέας μισθός: 𐅄ΔΔ⊢⊢ κτέ.*

302 ... *ἀρεστηρίαν θῦσαι ἱερεῖον ἑκατέραι τοῖν θεοῖν κατὰ ψήφισμα βουλῆς, ὃ Λυκοῦργος εἶπεν, 𐅄ΔΔ· κεφάλαιον τοῦ περιόντος ΧΔΓ⊢⊢⊢IIIΧ· καὶ τοῦτο ἱερο|ποιοῖς κατεβάλομεν κατὰ ψήφισμα δήμου, ὃ Λυκοῦργος εἶπεν, Νικομάχωι Στειρι[εῖ κα]ὶ συνιεροποιοῖς.*

9. In rationibus epistatarum Eleusiniorum et quaestorum Cereris Proserpinaeque a. 327/6 IG II² 1673 rogationis cuiusdam a Lycurgo latae mentio facta est.

65 *[. . . ἐτιμήσαμεν τὸν μισθὸν τοῦ ζεύγους ἑκάστου τῆς ἡμέρ]ας [:⊢⊢⊢⊢C: ἑκάσ]του ἐν τρισ[ὶν ἡμέραις: Δ⊢⊢IC]:*

III 8 Cf. Dinsmoor, Archons of Athens 371 n. 1; Pritchett-Neugebauer, Calendars of Athens 36; F. G. Maier, Griech. Mauerbauinschriften 1, Heidelberg 1959, nr. 20 || **11** *κελεύσαντος*] quo iure Lyc. hoc iussisset, non liquet, sed v. W. Schwahn, RhM 79, 1930, 174–175 et RE IVA 2, 1932, 2107 (ut quaestor civitatis) | *προτανέας*] cf. IG II² 373, 17. 403, 27; SEG 3, 1928, nr. 85. 415, 15. 1672, 6–8; Meisterhans³ 24, 14; M. Hammarström, Glotta 11, 1921, 214; E. Schweigert, Hesperia 8, 1939, nr. 8, 2–3; Liddell-Scott-Jones, Greek-English Lexicon, s. v. *προτανεία*; Buck-Petersen, Reverse Index, Chicago 1944, 153a; Buck, Greek Dialects § 207.

302 *ἀρεστηρίαν*] 'quia res deabus consecratas tollere et in alium usum convertere nefas est, in auro et argento signato vero id pro rei natura vitari omnino nequibat, sacrificio id expiandum animique dearum placandi erant' Dttb. Syll.² 587 nr. 211; cf. Köhler, Hermes 26, 1891, 45 n. 1; Jacoby, Atthis, passim et praecip. 238 n. 8. de *ἀρεστηρία*, quae vox ab *ἀρέσασθαι· ἱλάσασθαι, ἀρεστὸν ποιῆσαι* Hsch., cf. ibid. s. v. *ἀρεστήριον* Eustath. 738, 49; IG II² 204, 58; M. H. Jameson, Hesperia 29, 1960, 218–219.

III 9 Rogatio num ad sacra aedificia exstruenda spectet, cum aerarii praefectus esset, non liquet. de aetate v. Dinsmoor, Archons

κατὰ ψήφισμα δήμου, ὃ Λυκοῦργος εἶπεν, γίγνεται τοῖς ζεύγεσιν: HH||[*H* . . . .]

IV. DE LYCVRGI ORATIONIBVS TESTIMONIA

1. [Plut.] vit. X orat. 843c: *φέρονται δὲ τοῦ ῥήτορος λόγοι πεντεκαίδεκα.*
2. Phot. Bibl. cod. 268 (p. 496b 38 Bk.): *Λυκούργου . . οὔπω παρέσχεν ἡμῖν ὁ χρόνος λόγους ἀναγνῶναι, φέρεσθαι δὲ αὐτοῦ ἐξ ἱστορίας ιε' μεμαθήκαμεν.*
3. Schol. Aeschin. 2, 18 (e cod. Coisl. 249): *τῶν δέκα ῥητόρων ὁ σκάριφος· Ἰσαῖος λόγους σ', ... Λυκοῦργος λόγους η', Ἀνδοκίδης λόγους μδ', . . .*
4. Cod. Paris. 2991 A (in Boisson., Eunapius): *ἔγραψε δὲ ὁ μὲν Δημοσθένης λόγους οε', ... Λυκοῦργος λόγους ν', . . .*
5. Titze, GGA 1823, nr. 81 p. 801s.; Ch. Walz, praef. ad Tryphonem = Rhet. Graec. 8, 726—727: *Ἰσαῖος λόγους σ', ... Λυκοῦργος λόγους η', . . .*

of Athens 371 n. 1 'the available years within these limits would be 333/2, 330/29, and 328/7 B. C.; and probably one of the two latter, immediately preceding or following IG II² 1672, should be adopted.' de titulo cf. etiam Glotz, REG 31, 1918, 207—220; 36, 1923, 26—30; K. Kunst, BphW 39, 1919, 493—501; F. Noack, Eleusis, Berlin 1927, 114 n. 4; SEG 3, 1928, nr. 140, cf. ibid. 15, 1958, nr. 128; W. Schwahn, RhM 79, 1930, 172ss.

Inter epimeletas Amphiaraiorum Oropiorum, qui ab Atheniensibus laudati sunt, commemoratur Lyc. in tit. Dttb. Syll.³ 298 (= Pouilloux, Choix nr. 2), a. 329/8; cf. E. Preuner, Hermes 57, 1922, 84; Dinsmoor, Archons of Athens 370; J. K. Davies, JHS 87, 1967, 39 n. 73. Lyc. tandem inter decem hieropoeos ab Atheniensibus Delphos missos (*ἱεροποιοὶ οἱ τὴν Πυθαΐδα ἀγαγόντες*) fuit in tit. Fouilles de Delphes III 1, 511 (= Dttb. Syll.³ 296), a. 326/5, ut D. M. Lewis, ABSA 50, 1955, 34 contra annum prius adscriptum (= 330/29) disseruit; a. 330/29 nuper defendit S. Charitonides, Hesperia 30, 1961, 44.

IV 1 De laterculis oratorum orationumque v. etiam W. Studemund, Zu den attischen Rednern, Hermes 2, 1867, 434ss. || **7. 8** *Λυκ. λόγους ιδ', Ἀνδοκ. λόγους η'* Saup.

6. Palat. Misc. nr. 132 (Creuzer, Melet., Lipsiae 1817, 1, 9): *τῶν ι' ῥητόρων τὰ ὀνόματα καὶ πόσους ἔγραψαν λόγους. Ἰσαῖος λόγους σ', ... Λυκοῦργος η', ...*

7. Cram. anecd. Oxon. 4, 256, 3–4 (e cod. Baroc. 125): *Τῶν δέκα ῥητόρων τὰ ὀνόματα καὶ πόσα ἔγραψαν, ὡς φέρεται εἰς ἕκαστον. Ἰσαῖος λόγους σ', ... Λυκοῦργος λόγους ην', ...*

8. Codex Ambros. D 15: *Τῶν ι' ῥητόρων τὰ ὀνόματα καὶ πόσους ἔγραψαν λόγους. Ἰσαῖος λόγους σ', ... Λυκοῦργος λόγους η', ...*

Index orationum Lycurgi secundum Harpocrationem

- *α'* *ἀπολογισμὸς ὧν πεπολίτευται*
- *β'* *κατ' Ἀριστογείτονος*
- *γ'* *κατ' Αὐτολύκου*
- *δ'* *κατὰ Δεξίππου*
- *ε'* *πρὸς Δημάδην ἀπολογία* s. *πρὸς Δημάδην*
- *ς'* *περὶ τῆς διοικήσεως*
- *ζ'* *περὶ τῆς ἱερείας*
- *η'* *κατ' Ἰσχυρίου*
- *ϑ'* *κατὰ Κηφισοδότου*
- *ι'* *Κροκωνιδῶν διαδικασία πρὸς Κοιρωνίδας* s. *διαδικασία Κροκωνιδῶν*
- *ια'* *κατὰ Λεωκράτους*
- *ιβ'* *κατὰ Λυκόφρονος εἰσαγγελία* s. *κατὰ Λυκόφρονος*
- *ιγ'* *κατὰ Λυσικλέους*
- *ιδ'* *κατὰ Μενεσαίχμου εἰσαγγελία* s. *κατὰ Μενεσαίχμου*

Vita sec. Sudam cum orationum indice

Λυκοῦργος Λυκόφρονος Ἀθηναῖος, τὸ γένος Ἐτεοβουτάδης, τῶν μετὰ Δημοσθένους ἐγκριθέντων ῥητόρων.

22 cf. etiam Eudoc. viol. nr. 618. || **23** *εἷς τῶν* Flach – 'quindecim dicit esse orationes Pseudopl. § 39, non adiecto ut assolet *ὧν εἰσι γνήσιοι κτέ.*; Suidas autem vel XIV enumerat vel XV; incertum enim est, utrum *ὑπὲρ τῶν εὐθυνῶν* per se titulum efficiat an cum prioribus coniungendum sit. tres sunt totius indicis partes: a) *κατὰ–*, b) *πρὸς–*, c) *περὶ–*; in unaquaque secundum litterarum ordinem dispositum, nisi auod or. *κατὰ Δημάδου* in clausula primae partis collocata est, scilicet ut posset auctor pergere *ἀπολ. πρὸς τὸν αὐτόν*. itaque Pinzgerum, qui ante *ὑπὲρ τῶν εὐϑ.* distinxit, non

ἀνέγκλητος δὲ βιοὺς τελευτᾷ νόσῳ, υἱοὺς καταλιπών, ὑπὲρ ὧν συκοφαντηθέντων Δημοσθένης ὁ ῥήτωρ ἀπὸ τῆς φυγῆς εἰπὼν ἐξεῖλεν αὐτούς. λόγοι δ' αὐτοῦ εἰσι γνήσιοι οἱ σῳζόμενοι

α'	*κατ' Ἀριστογείτονος*	*θ'*	*ἀπολογία πρὸς τὸν αὐτὸν ὑπὲρ τῶν εὐθυνῶν*
β'	*κατ' Αὐτολύκου*	*ι'*	*πρὸς Ἰσχυρίαν*
γ'	*κατὰ Λεωκράτους*	*ια'*	*πρὸς τὰς μαντείας*
δ'ε'	*κατὰ Λυκόφρονος β'*	*ιβ'*	*περὶ τῆς διοικήσεως*
ς'	*κατὰ Λυσικλέους*	*ιγ'*	*περὶ τῆς ἱερείας*
ζ'	*κατὰ Μενεσαίχμου*	*ιδ'*	*περὶ τῆς ἱερωσύνης*
η'	*κατὰ Δημάδου*		
	ἐπιστολαὶ καὶ ἄλλα τινά		

secutus sum, etsi haec una oratio est, quae bipertito titulo indicetur, cum potuerint etiam aliae. duae autem sunt praeterea res quae difficultatem faciant. primum or. *ἀπολογισμὸς ὧν πεπολίτευται* inscripta non recensita est: quam quidem non tantum Harpocratio pluribus locis commemorat, sed etiam Ps.-Plut. (§ 31) haud obscure significare videtur: *μέλλων δὲ τελευτήσειν . . . βουλόμενος εὐθύνας δοῦναι τῶν π ε π ο λ ι τ ε υ μ έ ν ω ν.* is autem cum pergat *οὐδενὸς δὲ κατηγορῆσαι τολμήσαντος πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος κτέ.*, indicat *πρὸς Μενέσαιχμον* eam or. habitam esse; non igitur eadem fuit atque *ἀπολογία πρὸς Δημάδην* ab eodem Harpocratione aliis locis commemorata. itaque aut excidit hic titulus apud Suidam (velut in extremo indice), aut cum Kiesslingio non diversa putanda est haec oratio ab or. *ὑπὲρ τῶν εὐθυνῶν* (cf. *εὐθύνας δοῦναι* ap. Ps.-Plut.), quamvis sic totius indicis ordo vehementer perturbetur, aut eadem fuit atque or. *περὶ διοικήσεως,* quamvis ex utraque discretis locis afferat Harpocratio (v. tamen Att. Bereds. 1^2, 296, 6). oratio autem *περὶ τῆς ἱερωσύνης,* cum eadem utique fuisse videatur atque *Κροκωνιδῶν διαδικασία* (v. fr. VII), alteram difficultatem creat: non enim fuit haec *διαδικ.* inter *γνησίους,* praemissum autem legitur ap. Suid. *λόγοι γνήσιοι.*' Bl. || **4** *οἱ ιε'* Saup. fort. recte || **5** *Ἀπολογία πρὸς τὸν αὐτόν, Ὑπὲρ τῶν εὐθυνῶν* Saup. Adler || **9** *Λυσικλέους* Meurs.: *Πασικλέους* || **10** *Μεναίχμου* (*μενέχμου* m Eudocia): corr. Meurs. | *ἱερατείας* Eudoc. viol. **PV** Kiessl. – 'alienas esse a Lyc. orationes *κατ' Αὐτοκλέους* et *κατὰ Δεξίππου* post Sauppium non opus est pluribus demonstrare; *κατὰ Κηφισοδότου* autem verior titulus or. *κατὰ Δημάδου* fuit' Bl.; v. etiam Conomis, Klio 39, 1961, 78–79.

V. DE LYCVRGI ELOQVENTIA IVDICIA VETERVM

Hyper. 3, 12, 21 ss. J.: *οὔτε τῷ λέγειν οὐδενὸς τῶν ἐν τῇ πόλει καταδεέστερον ὄντα, παρὰ τούτοις τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι.*

Dionys. Halicarn. *π. μιμήσεως* (opusc. 2, 212, 9 ed. Usener-Raderm.): *ὁ δὲ Λυκούργειός* (sc. *λόγος*) *ἐστι διὰ παντὸς αὐξητικός, καὶ διηρμένος καὶ σεμνός, καὶ ὅλως κατηγορικὸς καὶ φιλαλήθης καὶ παρρησιαστικός· οὐ μὴν ἀστεῖος, οὐδὲ ἡδύς, ἀλλὰ ἀναγκαῖος. τούτου χρὴ ζηλοῦν μάλιστα τὰς δεινώσεις.*

Dio Chrysost. 18, 11 (2, 318, 23 de Budé): *ἀλλὰ καὶ Λυκούργῳ συμβουλεύσαιμ' ἂν ἐντυγχάνειν σοι, ἐλαφροτέρῳ τούτων* (quam Hyperides et Aeschines) *ὄντι καὶ ἐμφαίνοντί τινα ἐν τοῖς λόγοις ἁπλότητα καὶ γενναιότητα τοῦ τρόπου.*

Hermogenes *π. ἰδεῶν* B p. 416 (H. Rabe p. 402, 14): *ὁ τοίνυν Λυκοῦργος πολιτικὸς μέν ἐστιν, εἴπερ τις ἕτερος, πλὴν ἴσως τοῦ κατὰ τὴν ἀφέλειαν ἤθους ἕνεκα, πολὺ δὲ τὸ τραχὺ καὶ σφοδρὸν ἔχει χωρὶς ἐπιμελείας· ἢ γὰρ ἂν ὁ αὐτὸς ἦν πως τῷ Δεινάρχῳ. τῇ δὲ λέξει καὶ πολὺ τραχύτερός ἐστιν· ὅθεν φημὶ καὶ τοῦτον τὴν φαινομένην, οὐ μὴν οὖσαν ὡς ὄντως δεινότητα ἔχειν. τροπικώτεροι γάρ εἰσιν οἱ λόγοι μᾶλλον αὐτοῦ καὶ καταδρομὴν ἔχοντες ἔστιν οὗ κατὰ τῶν ἀποδεδειγμένων πραγμάτων. χρῆται δὲ πολ-*

V cf. etiam Prolegomenon Sylloge, ed. H. Rabe (Rhet. Graec. 14, 213, 19 et passim). – 'Cicero breviter eum bis inter alios commemorat: de or. 2, 94; Brut. 36 (inde Tacit. Dialog. c. 25); v. etiam Quintil. 12, 10, 22; Philodem. *π. ῥητ.* 2, 97. 231. 233. 274 Sudh.' Bl. || **6** *διηρμένος* Steph.: *διηρημ.* – ap. Dionys. cf. praeterea ad Ammae. 1, 2. || **11** *ἐλαφροτέρῳ*: *ἀφελεστέρῳ* Weil, cf. Blass, Att. Bereds.² 3/2, 134 n. 1. de voce *ἐλαφρός* 'leicht verständlich, einfach, ungekünstelt' v. E. Orth, BphW 41, 1921, 47–48 et A. Kunze, ibid. 42, 1922, 189 || **15** 'Hermogenes Lyc. inter X oratores (quibus apud illum accedit Critias) paenultimo loco recenset. – *πολιτικός*] i. e. *σαφὴς καὶ ἀληθινὸς καὶ πιθανὸς καὶ τὸ κατ' ἐπιείκειαν ἦθος ἔχων* (quippe *ἤθους* altera pars, *τὸ κατ' ἀφέλειαν*, ei denegatur)' Bl. || **18** *ἢ γὰρ κτέ.* vix san. putat Rabe

λαῖς πολλάκις καὶ ταῖς παρεκβάσεσιν, ἐπὶ μύθους καὶ ἱστορίας καὶ ποιήματα φερόμενος, ἃ δὴ τῆς φαινομένης ἐστὶ καὶ αὐτὰ δεινότητος.

Trypho π. *ὁμοιώσεως* (Rhet. Graec. 3, 201, 6 Sp.): *χαρακτῆρες ῥητορικοὶ τρεῖς, τουτέστιν εἴδη φράσεων, αὐστηρόν, μέσον, ἰσχνόν· καὶ τὸν μὲν αὐστηρὸν ὁ Θουκυδίδης ἐπετήδευσε χαρακτῆρα καὶ Ἀντιφῶν ὁ τούτου διδάσκαλος, τὸν δὲ μέσον Δημοσθένης, Ὑπερείδης, Δείναρχος, Λυκοῦργος, τὸν δὲ ἰσχνὸν Αἰσχίνης, Ἰσοκράτης, Λυσίας, Ἀνδοκίδης, Ἰσαῖος.*

4 attulit Pezop.

ΚΑΤΑ ΛΕΩΚΡΑΤΟΥΣ p.147 Steph.

ΥΠΟΘΕΣΙΣ

Μετὰ τὰ ἐν Χαιρωνείᾳ δεινὰ ψήφισμα ποιεῖ ὁ τῶν Ἀθηναίων δῆμος, ὥστε μήτε τινὰ ἔξω γενέσθαι τῆς πόλεως, μήτε μὴν ἐκθέσθαι παῖδας καὶ γυναῖκας. Λεωκράτης οὖν τις ἐξελθὼν τῆς πόλεως, καὶ ἀφικόμενος ἐν Ῥόδῳ καὶ πάλιν ἐν Μεγάροις, ἦλθεν ἐν Ἀθήναις· καὶ παρρησιαζομένου αὐτοῦ κατηγορίαν ποιεῖται ὁ Λυκοῦργος αὐτοῦ ὡς προδότου. ἡ δὲ στάσις ὅρος ἀντονομάζων· ὁμολογεῖ γὰρ καὶ ὁ Λεωκράτης ἀπολιπεῖν τὴν πόλιν, οὐ μέντοι προδιδόναι. ἄλλοι στοχασμὸν ἀπὸ γνώμης, ὡς τοῦ μὲν ἐξελθεῖν ὁμολογουμένου, ἀμφιβαλλομένης δὲ τῆς προαιρέσεως, ποίᾳ γνώμῃ ἐξῆλθεν, εἴτ' ἐπὶ προδοσίᾳ εἴτ' ἐπὶ ἐμπορίᾳ. ἄλλοι δὲ ἀντίστασιν· λέγει γὰρ οὐκ ἐπὶ προδοσίᾳ τῆς πόλεως ἐξελθεῖν, ἀλλ' ἐπὶ ἐμπορίᾳ. ἔοικε δὲ ἡ τοῦ λόγου ὑπόθεσις τῇ τοῦ κατὰ Αὐτολύκου.

Δικαίαν ὦ Ἀθηναῖοι καὶ εὐσεβῆ καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ 1 1
τῶν θεῶν τὴν ἀρχὴν τῆς κατηγορίας Λεωκράτους τοῦ
κρινομένου ποιήσομαι. εὔχομαι γὰρ τῇ Ἀθηνᾷ καὶ τοῖς
ἄλλοις θεοῖς καὶ τοῖς ἥρωσι τοῖς κατὰ τὴν πόλιν καὶ τὴν
χώραν ἱδρυμένοις, εἰ μὲν εἰσήγγελκα Λεωκράτη δικαίως
καὶ κρίνω {τὸν} προδόντ' αὐτῶν καὶ τοὺς νεὼς καὶ τὰ ἕδη
καὶ τὰ τεμένη καὶ τὰς ἐν τοῖς νόμοις τιμὰς καὶ θυσίας
τὰς ὑπὸ τῶν ὑμετέρων | προγόνων παραδεδομένας, ἐμὲ 2 p.148
μὲν ἄξιον ἐν τῇ τήμερον ἡμέρᾳ τῶν Λεωκράτους ἀδικημά-
των κατήγορον ποιῆσαι, ὃ καὶ τῷ δήμῳ καὶ τῇ πόλει συμ-

Arg. 5 *Λεωκρ.*] v. Kirchner, P. A. 9083 || 7 s. *κατηγ. ποιεῖται ὁ Λ.*] cf. schol. Aeschin. 3, 252: *τὸν Λεωκρ. νοεῖ, οὗ κατηγόρηκε Λ.* de exitu causae cf. Aeschin. l. c., Harpocr. s. v. *ἴσαι ψῆφοι*

Tit. *Ὑπόθεσις κ. Λεωκρ. Λ.* A *Ὑπ. τοῦ κ. Λεωκρ.* N || 9 *ὁ* om. A || 14 *ἡ τούτου τοῦ* N | post arg. tit. *Λ. κ. Λεωκρ.* libri || 15 *ὦ Ἀθ.*] *ὦ ἄνδρες Ἀθ.* hic et infra ubique Bl. | *ὑμῶν* N et coni. Tayl. (cf. Turr.): *ἡμῶν* || 16 *Λεωκράτους* om. Π[2] || 20 *τὸν* del. Bake Es (om. Ald.) | *αὐτῶν* Bk.: *αὐτὸν* A (apogr.) *αὐ-* N | *καί*[2] del. Cohn cl. p. 87, 16 || 21 *τιμὰς καὶ* om. A || 23 *Λεωκρ.* secl. Bl. || 24 *ποιήσασθαι καὶ* Π[2] | *συμφέροι* G. Herm.

φέρει, ὑμᾶς δ' ὡς ὑπὲρ πατέρων καὶ παίδων καὶ γυναικῶν
καὶ πατρίδος καὶ ἱερῶν βουλευομένους, καὶ ἔχοντας ὑπὸ
τῇ ψήφῳ τὸν προδότην ἁπάντων τούτων, ἀπαραιτήτους
δικαστὰς καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον γενέσθαι τοῖς
τὰ τοιαῦτα καὶ τηλικαῦτα παρανομοῦσιν· εἰ δὲ μήτε {τὸν}
προδόντα τὴν πατρίδα, μήτε {τὸν} ἐγκαταλιπόντα τὴν
πόλιν καὶ τὰ ἱερὰ εἰς τουτονὶ τὸν ἀγῶνα καθίστημι, σω-
θῆναι αὐτὸν ἐκ τοῦ κινδύνου καὶ ὑπὸ τῶν θεῶν καὶ ὑφ'
ὑμῶν τῶν δικαστῶν.
2 3 Ἐβουλόμην δ' ἂν ὦ ἄνδρες, ὥσπερ ὠφέλιμόν ἐστι τῇ
πόλει εἶναι τοὺς κρίνοντας ἐνταῦθα τοὺς παρανομοῦν-
τας, οὕτω καὶ φιλάνθρωπον αὐτὸ παρὰ τοῖς πολλοῖς ὑπει-
λῆφθαι· νῦν δὲ περιέστηκεν εἰς τοῦτο, ὥστε τὸν ἰδίᾳ κιν-
δυνεύοντα καὶ ὑπὲρ τῶν κοινῶν ἀπεχθανόμενον οὐ φιλό-
πολιν, ἀλλὰ φιλοπράγμονα δοκεῖν εἶναι, οὐ δικαίως οὐδὲ
συμφερόντως τῇ πόλει. τρία γάρ ἐστι τὰ μέγιστα, ἃ δια-
φυλάττει καὶ διασῴζει τὴν δημοκρατίαν καὶ τὴν τῆς πόλεως
4 εὐδαιμονίαν, πρῶτον μὲν ἡ τῶν νόμων τάξις, δεύτερον δ'
ἡ τῶν δικαστῶν ψῆφος, τρίτον δ' ἡ τούτοις τἀδικήματα
παραδιδοῦσα κρίσις. ὁ μὲν γὰρ νόμος πέφυκε προλέγειν
ἃ μὴ δεῖ πράττειν, ὁ δὲ κατήγορος μηνύειν τοὺς ἐνόχους
τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις καθεστῶτας, ὁ δὲ δικαστὴς
κολάζειν τοὺς ὑπ' ἀμφοτέρων τούτων ἀποδειχθέντας αὐ-
τῷ, ὥστ' οὔθ' ὁ νόμος οὔθ' ἡ τῶν δικαστῶν ψῆφος ἄνευ
5 τοῦ παραδώσοντος αὐτοῖς τοὺς ἀδικοῦντας ἰσχύει. ἐγὼ
δ' ὦ Ἀθηναῖοι, εἰδὼς Λεωκράτην φυγόντα μὲν τοὺς ὑπὲρ
τῆς πατρίδος κινδύνους, ἐγκαταλιπόντα δὲ τοὺς αὑτοῦ
πολίτας, προδεδωκότα δὲ πᾶσαν τὴν ὑμετέραν δύναμιν,

1 δε ε|ως Π^2 | ὑπὲρ πατέρων καὶ παίδων] υπερ παιδων και πολεων Π^2 || 3 τὸν secl. Bl. et mal. τούτων ἁπάντων || 4 post δικ.: μὴ παρέχοντας συγγνώμην ut gloss. del. Tayl. || 5–6 τὸν bis secl. Dobr. τὸν μήτε πρ. Ri. || 11 κρινοῦντας Dobr. (cl. v. 25) τὸν κρινοῦντα mal. Bl. cl. v. 13 s. | ἐνταῦθα (i. e. παρ' ὑμῖν τοῖς δικασταῖς) Cor.: ἐν ταύτῃ libri ἐν αὐτῇ quod multis plac. Rei. || 12 αὐτὸ om. A^{pr} (Rosbg. Bl.) | ὑπολῆφθαι N^{pr} (ο in ει mut. N^2) || 14 οὐ] μὴ N (probat Cohn, οὐ e v. 15 ortum ratus) || 17 καὶ σῴζει mal. Hirschig cl. p. 90, 4 || 20 παραδιδοῦσα ci. Bk.: παραδοῦσα || 23 ὑπ' ἀμφ. Ald.^{mg} (Muret) Rei.: ἐπ' ἀμφ.

*ἅπασι δὲ τοῖς γεγραμμένοις ἔνοχον ὄντα, ταύτην τὴν εἰσαγ-
γελίαν ἐποιησάμην, οὔτε δι' ἔχθραν οὐδεμίαν, οὔτε διὰ
φιλονικίαν οὐδ' ἡντινοῦν τοῦτον τὸν ἀγῶνα προελόμενος,
ἀλλ' αἰσχρὸν εἶναι νομίσας τοῦτον περιορᾶν εἰς τὴν ἀγο-
ρὰν ἐμβάλλοντα καὶ τῶν κοινῶν ἱερῶν μετέχοντα, τῆς
τε πατρίδος ὄνειδος καὶ πάντων ὑμῶν γεγενημένον. πολί-* 6
*του γάρ ἐστι δικαίου, μὴ διὰ τὰς ἰδίας ἔχθρας εἰς τὰς
κοινὰς κρίσεις καθιστάναι τοὺς τὴν πόλιν μηδὲν ἀδικοῦν-
τας, ἀλλὰ τοὺς εἰς τὴν πατρίδα τι παρανομοῦντας ἰδίους
ἐχθροὺς εἶναι νομίζειν, καὶ τὰ κοινὰ τῶν ἀδικημάτων κοι-
νὰς καὶ τὰς προφάσεις ἔχειν τῆς πρὸς αὐτοὺς διαφορᾶς.*

Ἅπαντας μὲν οὖν χρὴ νομίζειν μεγάλους εἶναι τοὺς **3** 7
*δημοσίους ἀγῶνας, μάλιστα δὲ τοῦτον ὑπὲρ οὗ νῦν μέλλετε
τὴν ψῆφον φέρειν. ὅταν μὲν γὰρ τὰς τῶν παρανόμων γρα-
φὰς δικάζητε, τοῦτο μόνον ἐπανορθοῦτε καὶ ταύτην τὴν
πρᾶξιν κωλύετε, καθ' ὅσον ἂν τὸ ψήφισμα μέλλῃ βλάπτειν
τὴν πόλιν· ὁ δὲ νῦν ἐνεστηκὼς ἀγὼν οὐ μικρόν τι μέρος
συνέχει τῶν τῆς πόλεως οὐδ' ἐπ' ὀλίγον χρόνον, ἀλλ' ὑπὲρ
ὅλης τῆς πατρίδος καὶ κατὰ παντὸς τοῦ αἰῶνος ἀείμνηστον
καταλείψει τοῖς ἐπιγιγνομένοις τὴν κρίσιν. οὕτω γάρ ἐστι* 8
*δεινὸν τὸ γεγενημένον ἀδίκημα καὶ τηλικοῦτον ἔχει τὸ
μέγεθος, ὥστε μηδὲ κατηγορίαν {μήτε τιμωρίαν} ἐνδέ-
χεσθαι εὑρεῖν ἀξίαν, μηδ' ἐν τοῖς νόμοις ὡρίσθαι τιμωρίαν
{ἀξίαν} τῶν ἁμαρτημάτων. τί γὰρ χρὴ παθεῖν τὸν ἐκλιπόντα
μὲν τὴν πατρίδα, μὴ βοηθήσαντα δὲ τοῖς πατρῴοις ἱεροῖς,
ἐγκαταλιπόντα δὲ τὰς τῶν προγόνων θήκας, ἅπασαν δὲ τὴν
χώραν ὑποχείριον τοῖς πολεμίοις παραδόντα; τὸ μὲν γὰρ
μέγιστον καὶ ἔσχατον τῶν τιμημάτων, θάνατος, ἀναγ-
καῖον μὲν ἐκ τῶν νόμων ἐπιτίμιον, ἔλαττον δὲ τῶν Λεωκρά-*

3 *φιλονι-* Bl. (cf. Gebhardt, Adnot. crit. 10–11): *φιλονει-* | *οὐδ'* om. **A**pr || **7** *τὰς*² om. **A**pr || **8** *καθιστάναι* Steph.: *καθε-* || **11** *τὰς* del. Hertlein || **12** *ἅπαντα* **N**pr (ς add. **N**28) || **13** *δημοσίους* Tayl.: *δημίους* || **20** *τοῖς ἐπιγιγν. καταλείψειν* **N** || **21** *ἔχει* del. Es | *τὸ* secl. Bl. || **22** *μηδὲ κατ.* Bl.: *μήτε κατ.* libri | *μήτε τιμ.* cum Saup. del. Bl. || **24** *ἀξίαν* del. Bl. || **27** *χώραν* **N** (rec. Bl.): *πόλιν* (rec. edd.) **A** (apogr.) *τὴν χ. καὶ τὴν π.* Pezop. cl. p. 76, 23 s. 79, 11 s. 88, 11

9 τους ἀδικημάτων καθέστηκε. παρεῖσθαι δὲ τὴν ὑπὲρ τῶν
τοιούτων τιμωρίαν συμβέβηκεν ὦ ἄνδρες, οὐ διὰ ῥαθυ-
μίαν τῶν τότε νομοθετούντων, ἀλλὰ διὰ τὸ μὴ ἐν τοῖς
πρότερον χρόνοις γεγενῆσθαι τοιοῦτον μηδέν, μηδ᾽ ἐν τοῖς
μέλλουσιν ἐπίδοξον εἶναι γενήσεσθαι. διὸ καὶ μάλιστ᾽ ὦ
p.149 ἄνδρες | ὑμᾶς δεῖ γενέσθαι μὴ μόνον τοῦ νῦν ἀδικήματος
δικαστάς, ἀλλὰ καὶ νομοθέτας. ὅσα μὲν γὰρ τῶν ἀδικημά-
των νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους
κολάζειν τοὺς παρανομοῦντας· ὅσα δὲ μὴ σφόδρα περι-
είληφεν ἑνὶ ὀνόματι προσαγορεύσας, μείζω δὲ τούτων τις
ἠδίκηκεν, ἅπασι δ᾽ ὁμοίως ἔνοχός ἐστιν, ἀναγκαῖον τὴν
ὑμετέραν κρίσιν καταλείπεσθαι παράδειγμα τοῖς ἐπι-
10 γιγνομένοις. εὖ δ᾽ ἴστε ὦ ἄνδρες, ὅτι οὐ μόνον τοῦτον νῦν
κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαν-
τας ἐπ᾽ ἀρετὴν προτρέψετε. δύο γάρ ἐστι τὰ παιδεύοντα
τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία, καὶ ἡ τοῖς ἀν-
δράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά· πρὸς ἑκάτερον δὲ τού-
των ἀποβλέποντες, τὴν μὲν διὰ τὸν φόβον φεύγουσι, τῆς δὲ
4 διὰ τὴν δόξαν ἐπιθυμοῦσι. διὸ δεῖ ὦ ἄνδρες προσέχειν
τούτῳ τῷ ἀγῶνι, καὶ μηδὲν περὶ πλείονος ποιήσασθαι
τοῦ δικαίου.

11 Ποιήσομαι δὲ κἀγὼ τὴν κατηγορίαν δικαίαν, οὔτε ψευδόμενος οὐδέν, οὔτ᾽ ἔξω τοῦ πράγματος λέγων. οἱ μὲν γὰρ πλεῖστοι τῶν εἰς ὑμᾶς εἰσιόντων πάντων ἀτοπώτατον ποιοῦσιν· ἢ γὰρ συμβουλεύουσιν ἐνταῦθα περὶ τῶν κοινῶν πραγμάτων, ἢ κατηγοροῦσι καὶ διαβάλλουσι

7 s. cf. Arist. rhet. 1354 a 26 εἴ τις ᾧ μέλλει χρῆσθαι κανόνι ... ὅσα μὴ ὁ νομοθέτης διώρικεν; pol. 1287 b 16 ὁ νόμος ἀδυνατεῖ διορίζειν

3 μὴ] μήτ᾽ Bk. || 4 μηδ᾽ Cor.: μήτε || 5 γενήσεσθαι Valck.: γεγενῆσθαι | addunt libri ὥστε (ὡς A) μήτε κατηγ. μήτε τιμ. ἐνδέχ. εὑρεῖν ἀξίαν, quae verba (ut ex superiore loco repetita) del. Tayl. || 6 ὑμᾶς δεῖ Bl.: δεῖ ὑμᾶς || 10 ἑνὶ ὀνόματι] ὀνομαστὶ A. Wilhelm (WS 61/2, 1943/7, 68), sed cf. Plat. Soph. 226 e (Es), Res p. 580 d; Aeschin. 3, 14; ἓν ὁ νόμος τι Bl. propter hiat. || 14 κατεψηφισμένοι γ . . A[pr] (fuitne νῦν?) || 15 προτρέψετε Steph.: -τρέψητε

*πάντα μᾶλλον ἢ περὶ οὗ μέλλετε τὴν ψῆφον φέρειν. ἔστι
δ' οὐδέτερον τούτων χαλεπόν, οὔθ' ὑπὲρ ὧν μὴ βουλεύε-
σθε γνώμην ἀποφήνασθαι, οὔθ' ὑπὲρ ὧν μηδεὶς ἀπολογή-
σεται κατηγορίαν εὑρεῖν. ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν ἀξιοῦν* 12
*δικαίαν τὴν ψῆφον φέρειν, αὐτοὺς δὲ μὴ δικαίαν τὴν κατηγο-
ρίαν ποιεῖσθαι. τούτων δ' αἴτιοι ὑμεῖς ἐστε ὦ ἄνδρες· τὴν
γὰρ ἐξουσίαν ταύτην δεδώκατε τοῖς ἐνθάδ' εἰσιοῦσι, καὶ
ταῦτα κάλλιστον ἔχοντες τῶν Ἑλλήνων παράδειγμα τὸ ἐν
Ἀρείῳ πάγῳ συνέδριον, ὃ τοσοῦτον διαφέρει τῶν ἄλλων
δικαστηρίων, ὥστε καὶ παρ' αὐτοῖς ὁμολογεῖσθαι τοῖς
ἁλισκομένοις δικαίαν ποιεῖσθαι τὴν κρίσιν. πρὸς ὃ δεῖ καὶ* 13
*ὑμᾶς ἀποβλέποντας μὴ ἐπιτρέπειν τοῖς ἔξω τοῦ πράγμα-
τος λέγουσιν· οὕτω γὰρ ἔσται τοῖς τε κρινομένοις ἄνευ
διαβολῆς ὁ ἀγών, καὶ τοῖς διώκουσιν ἥκιστα συκοφαντεῖν,
καὶ ὑμῖν εὐορκοτάτην ⟨τὴν⟩ ψῆφον ἐνεγκεῖν. ἀδύνατον γάρ
ἐστιν † ἄνευ τοῦ λόγου, μὴ δικαίως δεδιδαγμένους δικαίαν
θέσθαι τὴν ψῆφον.*

Δεῖ δ' ὦ ἄνδρες μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ὅτι οὐχ ὅμοιός 5 14
*ἐστιν ὁ ἀγὼν περὶ τούτου καὶ τῶν ἄλλων ἰδιωτῶν. περὶ
μὲν γὰρ ἀγνῶτος ἀνθρώπου τοῖς Ἕλλησιν ἐν ὑμῖν αὐτοῖς
ἐδοκεῖτ' ἂν ἢ καλῶς ἢ καὶ φαύλως ἐψηφίσθαι· περὶ δὲ
τούτου ὅ τι ἂν βουλεύσησθε, παρὰ πᾶσιν τοῖς Ἕλλησιν
ἔσται λόγος, οἳ ἴσασιν τὰ τῶν προγόνων τῶν ὑμετέρων
ἔργα ἐναντιώτατα τοῖς τούτῳ διαπεπραγμένοις ὄντα. ἐπι-
φανὴς {τε} γάρ ἐστιν διὰ τὸν ἔκπλουν τὸν εἰς Ῥόδον καὶ
τὴν ἀπαγγελίαν ἣν ἐποιήσατο καθ' ὑμῶν πρός τε τὴν πόλιν*

2 *βουλεύεσθε* Ald.[mg.] (Muret): *βούλεσθε* || 13 ⟨*μάλιστα*⟩ *ἄνευ δ.* Es || 15 *τὴν* add. Bk. (Add.) || 15—17 *ἀδύνατον . . . ψῆφον* secl. Heinr. Bk.; multi multa coni., velut *ἄνευ* {*τοῦ*} *λόγου* Schmidt *ἄνευ τοῦ* ⟨*τοιούτου*⟩ *λόγου* Nicolai *ἄνευ τοῦ λόγῳ* {*μὴ*} *δικ. δεδιδάχθαι*? Bl. *καὶ ἀνόητον λόγῳ* Thalh. *ἄνευ τοῦ λόγου* ut gl. secl. et *τοὺς* add. Burtt monente L. A. Post (*ἄνευ τοῦ λόγου* secl. iam Malcov.) || 18 *ταῦτα*] *τοῦτο* Cor. Es || 19 *καὶ περὶ τῶν* N || 21 *καὶ* om. A [r] || 21.22 *περὶ τούτου δ'* Bl. propter hiat. || 22 *βουλεύσοισθε* A (BLP) || 23—24 *οἳ ἴσασιν . . . ὄντα,* quae del. Nicolai, huc trp. Bl. cum Franke; post *ἠκηκόεσαν* (p. 38, 3) habent libri || 25 *γάρ* Bk.: *τε γάρ* libri, cf. alt. *τε* infr. v. 26 || 26 *ἀπαγγ.* Tayl., cf. v. 26 p. 38, 3. 39, 6. 19: *ἐπαγγ.*

τὴν τῶν Ῥοδίων καὶ τῶν ἐμπόρων τοῖς ἐπιδημοῦσιν
15 *ἐκεῖ, οἳ πᾶσαν τὴν οἰκουμένην περιπλέοντες δι' ἐργασίαν*
ἀπήγγελλον ἅμα περὶ τῆς πόλεως ἃ Λεωκράτους ἠκη-
κόεσαν. ὥστε περὶ πολλοῦ ποιητέον ἐστὶν ὀρθῶς βουλεύσα-
σθαι περὶ αὐτοῦ. εὖ γὰρ ἴστε ὦ Ἀθηναῖοι, ὅτι ᾧ πλεῖστον
διαφέρετε τῶν ἄλλων ἀνθρώπων, τῷ πρός τε τοὺς θεοὺς
εὐσεβῶς καὶ πρὸς τοὺς γονέας ὁσίως καὶ πρὸς τὴν πατρίδα
φιλοτίμως ἔχειν, τούτου πλεῖστον ἀμελεῖν δόξαιτ' ἂν εἰ
τὴν παρ' ὑμῶν οὗτος διαφύγοι τιμωρίαν.

6 16 *Δέομαι δ' ὑμῶν ὦ Ἀθηναῖοι, ἀκοῦσαί μου τῆς κατ-*
ηγορίας διὰ τέλους, καὶ μὴ ἄχθεσθαι, ἐὰν ἄρξωμαι ἀπὸ
τῶν τῇ πόλει τότε συμβάντων, ἀλλὰ τοῖς αἰτίοις ὀργίζε-
σθαι, {καὶ} δι' οὓς ἀναγκάζομαι νῦν μεμνῆσθαι περὶ αὐτῶν.
Γεγενημένης γὰρ τῆς ἐν Χαιρωνείᾳ μάχης, καὶ συνδρα-
μόντων ἁπάντων ὑμῶν εἰς τὴν ἐκκλησίαν, ἐψηφίσατο ὁ
δῆμος, παῖδας μὲν καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν εἰς τὰ
τείχη κατακομίζειν, τοὺς δὲ στρατηγοὺς τάττειν εἰς τὰς
φυλακὰς τῶν Ἀθηναίων καὶ τῶν ἄλλων τῶν οἰκούντων
17 *Ἀθήνησι, καθ' ὅ τι ἂν αὐτοῖς δοκῇ. Λεωκράτης δὲ τού-*
των οὐδενὸς φροντίσας, συσκευασάμενος ἃ εἶχε χρήματα
μετὰ τῶν οἰκετῶν ἐπὶ τὸν λέμβον κατεκόμισε, τῆς νεὼς
p. 150 *ἤδη περὶ τὴν Ἀκτὴν ἐξορμούσης, καὶ | περὶ δείλην ὀψίαν*
αὐτὸς μετὰ τῆς ἑταίρας Εἰρηνίδος κατὰ μέσην τὴν Ἀκτὴν
διὰ τῆς πυλίδος ἐξελθὼν πρὸς τὴν ναῦν προσέπλευσε καὶ
ᾤχετο φεύγων, οὔτε τοὺς λιμένας τῆς πόλεως ἐλεῶν, ἐξ
ὧν ἀνήγετο, οὔτε τὰ τείχη τῆς πατρίδος αἰσχυνόμενος,

22 de Acte cf. Arist. *Ἀθ. πολ.* 42, 3 et v. Wachsmuth, RE I 1, 1893, 1212–1213; Judeich, Topogr.[2] 46 n. 1 || **23** Athen. 586f *καὶ Λ. ἐν τῷ Κατὰ Λεωκρ. Εἰρηνίδος ἑταίρας μέμνηται ὡς ἑταιρούσης τῷ Λεωκράτει*

2 *ἐκεῖ* del. Es || **3** *ἠκηκόεσαν* Es: *ἀκ-* libri (*-ασιν* A^{pr}) || **7** *γονέας* Cor., cf. p. 66, 7: *-νεῖς* || **8** *τούτου* Rei.: *τούτῳ* libri *τούτων* Rei. | *δόξαιτ'* N^{1} (Bk. [Add.] Dobr.): *δόξοιτ'*, quod nonnullis plac., cett. fort. *-ειτ'* A^{pr} || **11** *ἄχθεσθ$\overset{ε}{αι}$* $\frac{N^{1}}{N^{pr}}$ || **12** *ὀργίζεσθ$\overset{ε}{αι}$* $\frac{N^{1}}{N^{pr}}$ || **13** *δι' οὓς* Cor.: *καὶ δι' οὓς* libri *δι' οὓς καὶ*? Dobr. || **18** *τῶν*[1] susp. Bl. || **22** *ἐξορμούσης* Tayl.: *-ώσης* | *Ἀκτὴν* interpres Germanicus (= Fr. Alex. Simonus), alii; v. J. Bousquet, RA 10, 1937, 118–120

*ὧν τὴν φυλακὴν ἔρημον τὸ καθ' αὑτὸν μέρος κατέλιπεν,
οὔτε τὴν ἀκρόπολιν καὶ τὸ ἱερὸν τοῦ Διὸς τοῦ Σωτῆρος καὶ
τῆς Ἀθηνᾶς τῆς Σωτείρας ἀφορῶν καὶ προδιδοὺς ἐφοβήθη,
οὓς αὐτίκα σώσοντας ἑαυτὸν ἐκ τῶν κινδύνων ἐπικαλέσε-
ται. καταχθεὶς δὲ καὶ ἀφικόμενος εἰς Ῥόδον, ὥσπερ τῇ* 18
*πατρίδι μεγάλας εὐτυχίας εὐαγγελιζόμενος, ἀπήγγειλεν
ὡς τὸ μὲν ἄστυ τῆς πόλεως ἑαλωκὸς καταλίποι, τὸν δὲ
Πειραιέα πολιορκούμενον, αὐτὸς δὲ μόλις διασωθεὶς ἥκοι·
καὶ οὐκ ᾐσχύνθη τὴν τῆς πατρίδος ἀτυχίαν αὑτοῦ σωτη-
ρίαν προσαγορεύσας. οὕτω δὲ σφόδρα ταῦτ' ἐπίστευσαν
οἱ Ῥόδιοι, ὥστε τριήρεις πληρώσαντες τὰ πλοῖα κατῆγον,
καὶ τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων οἱ παρεσκευασμένοι
δεῦρο πλεῖν αὐτοῦ τὸν σῖτον ἐξείλοντο καὶ τἆλλα χρήματα
διὰ τοῦτον. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν* 19
*τὰς μαρτυρίας ἁπάντων, πρῶτον μὲν τὰς τῶν γειτόνων
καὶ τῶν ἐν τῷ τόπῳ τούτῳ κατοικούντων, οἳ τοῦτον ἴσασιν
ἐν τῷ πολέμῳ φυγόντα καὶ ἐκπλεύσαντα Ἀθήνηθεν, ἔπειτα
τῶν παραγενομένων, ὅτ' εἰς Ῥόδον Λεωκράτης ταῦτ'
ἀπήγγελλε, μετὰ δὲ ταῦτα τὴν Φυρκίνου μαρτυρίαν, ὃν
καὶ ὑμῶν ⟨ἴσασιν⟩ οἱ πολλοὶ κατηγοροῦντα ἐν τῷ δήμῳ
τούτου, ὡς καὶ μεγάλα βεβλαφὼς εἴη τὴν πεντηκοστήν,
μετέχων αὐτῆς.*

11 Harpocr. s. v. *κατάγειν τὰ πλοῖα· . . . ἀντὶ τοῦ βιάζεσθαι καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅποι βούλονται πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς ληστεύουσι κατάγειν, ὡς καὶ Λ. ἐν τῷ Κατὰ Λεωκρ. δηλοῖ*

2 *οὐδὲ* Heinr., sed cf. p. 42, 17 ‖ **3** *φοβηθεὶς* Bl. ‖ **4** *σώσοντας* **N** et **P** ut vid. et coni. Tayl.: *-σαντας* **A** | *ἐπικαλεῖται* Cobet, sed cf. p. 87, 15 ‖ **5** *ἀναχθεὶς* Frohb. | *καὶ ἀφικ.* del. Bk., def. Cor. ‖ **6** *ἀπήγγειλεν* **N** (*-ειλλεν* **P**): *-ελλεν* cett. (*-ελεν* **Z**) ‖ **7** *τῆς πόλεως* susp. A. G. Becker, sed v. Rehd. ad loc. | *καταλείποι* **N**[r] (in ras. corr. **N**[1] ut vid.) ‖ **8** *μόλις* Bl.: *μόνος* ‖ **17** *φυγόντα* F. A. Wolf: *φεύγ.* ‖ **18** *ὅτ' εἰς Ῥ.* Bl.: *εἰς Ῥ. ὅτε* ‖ **19** *ἀπήγγελε* **N** (*-γγειλε* **MPZ**) ‖ **20** *ἴσασιν* infr. ante *ὡς* v. 21 add. **N**[2], h. l. Ald. ‖ **21** *τού-του* h. l. **N** ante *ἐν τῷ δ.* **A** | *βεβλαφὼς* Saup. *καταβ.* Jenicke: *καὶ βλάβους* ‖ **22** *αὐτῆς* **N** (cf. p. 53, 12) et coni. Bursian: *αὐτοῖς*

7 20 *Πρὸ δὲ τοῦ ἀναβαίνειν τοὺς μάρτυρας βραχέα βούλομαι διαλεχθῆναι ὑμῖν. οὐ γὰρ ἀγνοεῖτε ὦ ἄνδρες οὔτε τὰς παρασκευὰς τῶν κρινομένων οὔτε τὰς δεήσεις τῶν ἐξαιτουμένων, ἀλλ᾽ ἀκριβῶς ἐπίστασθε, ὅτι χρημάτων ἕνεκα καὶ χάριτος πολλοὶ ἐπείσθησαν τῶν μαρτύρων ἢ ἀμνημονεῖν ἢ μὴ ἐλθεῖν ἢ ἑτέραν πρόφασιν εὑρεῖν. ἀξιοῦτε οὖν τοὺς μάρτυρας ἀναβαίνειν καὶ μὴ ὀκνεῖν, μηδὲ περὶ πλείονος ποιεῖσθαι τὰς χάριτας ὑμῶν καὶ τῆς πόλεως, ἀλλ᾽ ἀποδιδόναι τῇ πατρίδι τἀληθῆ καὶ τὰ δίκαια, καὶ μὴ λείπειν τὴν τάξιν ταύτην, μηδὲ μιμεῖσθαι Λεωκράτην, ἢ λαβόντας τὰ ἱερὰ κατὰ τὸν νόμον ἐξομόσασθαι. ἐὰν δὲ μηδέτερον τούτων ποιῶσιν, ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας κλητεύσομεν αὐτούς. λέγε τὰς μαρτυρίας.*

ΜΑΡΤΥΡΙΑΙ

8 21 *Μετὰ ταῦτα τοίνυν ὦ ἄνδρες, ἐπειδὴ χρόνος ἐγένετο,
καὶ ἀφικνεῖτο Ἀθήνηθεν πλοῖα εἰς τὴν Ῥόδον, καὶ φανερὸν ἦν ὅτι οὐδὲν δεινὸν ἐγεγόνει περὶ τὴν πόλιν, φοβηθεὶς ἐκπλεῖ πάλιν ἐκ τῆς Ῥόδου καὶ ἀφικνεῖται εἰς Μέγαρα· καὶ ᾤκει ἐν Μεγάροις πλείω ἢ πέντε ἔτη προστάτην ἔχων Μεγαρέα, οὐδὲ τὰ ὅρια τῆς χώρας αἰσχυνόμενος, ἀλλ᾽ ἐν
22 γειτόνων τῆς ἐκθρεψάσης αὐτὸν πατρίδος μετοικῶν. καὶ
οὕτως αὐτοῦ κατεγνώκει ἀίδιον φυγήν, ὥστε μεταπεμψάμενος ἐντεῦθεν Ἀμύνταν τὸν τὴν ἀδελφὴν ἔχοντα αὐτοῦ*

11 ss. cf. Poll. 8, 36 s. *τὸν δ᾽ οὐ βουλόμενον μαρτυρεῖν ἐκλήτευον, ἀνάγκην τοῦ μαρτυρῆσαι προστιθέντες· ἔδει δὲ αὐτὸν ἢ μαρτυρεῖν, ἢ ἐξομόσασθαι ὡς οὐκ εἰδείη ἢ μὴ παρείη ἢ χιλίας ἀποτίνειν, κτέ.*

1 *βραχέα* **N (LPMZ)**: *-εῖα* **A (B)** || **5** *π. τῶν μαρτ. ἐπείσθησαν* mal. Bl. propter hiat. || **7** *καὶ μὴ* Bl. cl. v. 9: *μηδὲ* || **9** *καὶ μὴ* **N**: *μηδὲ* || **10** *μηδὲ* **N**: *καὶ* **A^{pr}** (apogr.) *καὶ μὴ* **A^1** || **13** *κλητεύσομεν* **N** et ci. Tayl.: *-σωμεν* **A** *ἐκκλητεύσομεν*? Dobr. || **14** *μάρτυρες* apogr. (om. **MZ**) || **15** *χρ. ἐγίγνετο* mal. Bk. || **19** *πλείω*] *πλεῖν* Es, aut *πλείω πέντε ἔτη* propter hiat. mal. Bl. || **20.21** *ἐν γειτ.* **N^2** (*κ* in *ν* mut. et in ras. 2 litt. scr. *γει*) et ci. Saup.: *ἐκ γειτ.* || **22** *ὥστ . . . μετα-* **A^{pr}** || **23** *ἔχ. αὐτοῦ* **N**: *αὐτοῦ ἔχ.*

τὴν πρεσβυτέραν καὶ τῶν φίλων Ἀντιγένην Ξυπεταιόνα,
καὶ δεηθεὶς τοῦ κηδεστοῦ πρίασθαι παρ' αὐτοῦ τἀνδρά-
ποδα καὶ τὴν οἰκίαν, ἀποδόσθαι ταλάντου, κἀπὸ τούτου
προσέταξε τοῖς τε χρήσταις ἀποδοῦναι τὰ ὀφειλόμενα καὶ
τοὺς ἐράνους διενεγκεῖν, τὸ δὲ λοιπὸν αὐτῷ ἀποδοῦναι.
διοικήσας δὲ ταῦτα πάντα ὁ Ἀμύντας, αὐτὸς πάλιν ἀπο- 23
δίδοται τἀνδράποδα πέντε καὶ τριάκοντα μνῶν Τιμοχάρει
Ἀχαρνεῖ τῷ τὴν νεωτέραν ἔχοντι τούτου ἀδελφήν· ἀργύ-
ριον δὲ οὐκ ἔχων δοῦναι ὁ Τιμοχάρης, συνθήκας ποιησά-
μενος καὶ θέμενος παρὰ Λυσικλεῖ, μίαν μνᾶν τόκον ἔφερεν
τῷ Ἀμύντᾳ. ἵνα δὲ μὴ λόγον οἴησθε εἶναι, ἀλλ' εἰδῆτε
τὴν ἀλήθειαν, ἀναγνώσεται καὶ τούτων ὑμῖν τὰς μαρτυ-
ρίας. εἰ μὲν οὖν ζῶν ἐτύγχανεν ὁ Ἀμύντας, ἐκεῖνον ⟨ἂν⟩
αὐτὸν παρειχόμην· νυνὶ δ' ὑμῖν καλῶ τοὺς συνειδότας.
καί μοι | λέγε ταύτην τὴν μαρτυρίαν, ὡς ἐπρίατο παρὰ p. 151
Λεωκράτους ἐν Μεγάροις τὰ ἀνδράποδα Ἀμύντας καὶ
τὴν οἰκίαν.

ΜΑΡΤΥΡΙΑ

Ἀκούσατε δὲ καὶ ὡς ἀπέλαβε τετταράκοντα μνᾶς παρ' 24
Ἀμύντου Φιλόμηλος Χολαργεὺς καὶ Μενέλαος ὁ πρεσβεύ-
σας ὡς βασιλέα.

ΜΑΡΤΥΡΙΑ

Λαβὲ δέ μοι καὶ τὴν Τιμοχάρους τοῦ πριαμένου τἀνδράποδα παρ' Ἀμύντου πέντε καὶ τριάκοντα μνῶν, καὶ τὰς συνθήκας.

20 *Φιλ. Χολαργεὺς*] v. Kirchner, P. A. 14671

1 *Ξυπεταιόνα* Rehd. (*Ξυπεταιὼν* mal. iam Tayl.): *-εόνα* $\mathbf{N}^{pr}$, *-εῶνα* $\mathbf{N}^{2}$ **A** (apogr.) || **3** *ἀποδιδ[οσθαι]* Π^{1} || **10** *μίαν μνᾶν* susp. plures *ἡμιμναῖον* ci. Maetzner *μίαν δραχμὴν ἀνὰ μνᾶν* Meier *δραχμὴν τῆς μνᾶς*? Es *μίαν τῆς μνᾶς* Bl. || **11** *οἴησθε* Ald. (*-ησθαι* ut vid. **P**): *-εσθε* || **13** *ἂν* add. ci. Bk. || **18** *μάρτυρες* (*-ρία* **P**) apogr. || **21** *ὡς* Bl.: *εἰς* **N** (quod def. Cohn, Zur Kritik d. Redn. Lyk. 64, Gebhardt Adnot. crit. 34) *πρὸς* **A** (apogr.) || **23** *τὴν τοῦ Τιμ.* **A** (**B**)

ΜΑΡΤΥΡΙΑ. ΣΥΝΘΗΚΑΙ

25 *Τῶν μὲν μαρτύρων ἀκηκόατε ὦ ἄνδρες· ἄξιον δ' ἐστὶν ἐφ' οἷς μέλλω λέγειν ἀγανακτῆσαι καὶ μισῆσαι τουτονὶ Λεωκράτην. οὐ γὰρ ἐξήρκεσε τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὰ χρήματα μόνον ὑπεκθέσθαι, ἀλλὰ καὶ τὰ ἱερὰ τὰ πατρῷα, ἃ τοῖς ὑμετέροις νομίμοις καὶ πατρίοις ἔθεσιν οἱ πρόγονοι παρέδοσαν αὐτῷ ἱδρυσάμενοι, ταῦτα μετεπέμψατο εἰς Μέγαρα καὶ ἐξήγαγεν ἐκ τῆς χώρας, οὐδὲ τὴν ἐπωνυμίαν τῶν πατρῴων ἱερῶν φοβηθείς, ὅτι ἐκ τῆς πατρίδος αὐτὰ κινήσας συμφεύγειν αὐτῷ, ἐκλιπόντα τοὺς νεὼς καὶ τὴν χώραν ἣν κατεῖχεν, ἠξίωσε, καὶ ἱδρῦσθαι ἐπὶ ξένης καὶ ἀλλοτρίας, καὶ εἶναι ὀθνεῖα τῇ χώρᾳ καὶ τοῖς νομίμοις τοῖς*
26 *κατὰ τὴν Μεγαρέων πόλιν εἰθισμένοις. καὶ οἱ μὲν πατέρες ὑμῶν τῇ Ἀθηνᾷ ὡς τὴν χώραν εἰληχυίᾳ {ὁμώνυμον αὐτῇ} τὴν πατρίδα προσηγόρευον Ἀθήνας, ἵν' οἱ τιμῶντες τὴν θεὸν τὴν ὁμώνυμον αὐτῇ πόλιν μὴ ἐγκαταλίπωσι· Λεωκράτης δ' οὔτε νομίμων οὔτε πατρίδος οὔθ' ἱερῶν φροντίσας τὸ καθ' ἑαυτὸν ἐξαγώγιμον ὑμῖν καὶ τὴν παρὰ τῶν θεῶν βοήθειαν ἐποίησε. καὶ οὐκ ἐξήρκεσεν αὐτῷ τοσαῦτα καὶ τηλικαῦτα τὴν πόλιν ἀδικῆσαι, ἀλλ' οἰκῶν ἐν Μεγάροις, οἷς παρ' ὑμῶν ἐξεκομίσατο χρήμασιν ἀφορμῇ χρώμενος, ἐκ τῆς Ἠπείρου παρὰ Κλεοπάτρας εἰς Λευκάδα*

14s. cf. Aristid. (= Cram. Anecd. Paris. 4, 249, 3) *τῆς Ἀθηνᾶς εἰληχυίας τὴν πόλιν τῶν Ἀθηναίων* et Dio Chrys. 64, 12 (de Budé)

1 *μαρτυρίαι* **N A** || **4** *ἐξήρκεσε* sc. *αὐτῷ* || **6** *ἡμετ.* **N** | *πατρίοις* Dobr.: *-τρῴοις* || **7** *αὐτῷ* secl. Bl. propter hiat. || **8** *ἐξήγαγον* **N**^{pr} corr. **N**^{2} || **10** *ἐκλιπόντα* Cor.: *ἐκλείπ.* libri (*ἐκλίπ.?* **N**^{pr}) || **11** *κατεῖχεν* Bl.: *-χον* | *ἱδρῦσθαι* ci. Bk.: *ἱδρύσασθαι* || **14** *ἡμῶν* **N** (apogr.) | *τῇ Ἀθηνᾷ ... εἰληχυίᾳ* ci. Cor. ({*αὐτῇ*} Schöne, *αὐτὴν* Rehd.): *τὴν Ἀθηνᾶν ὡς τὴν χώραν εἰληχυῖαν* libri *τὴν Ἀθηνᾶν ... ὁμώνυμον αὐτῇ* del. esse ci. Bk. (*ὁμ. αὐτῇ* iam Heinr.) v. C. Rüger, BphW 52, 1932, 1517 *ὡς τὴν χώραν τῆς Ἀθηνᾶς εἰληχυίας* Bl. *τὴν Ἀθηνᾶν ... εἰληχυῖαν* secl. Burtt, qui etiam *ὁμώνυμον αὐτῇ* secl., alii aliter || **16** *ἐγκαταλίπωσι* **N**·**ʳA** (apogr.): *-λείπωσι* **N**^{1} et Cor. || **17** *πατρίδος* Frohb. Kaibel, cf. p. 43, 6. 45, 18. 90, 4: *πατρῴων* libri *νομίμων {οὔτε} πατρῴων* Heinr. *νομίμων {οὔτε} πατρίων?* Dobr. || **19** *ἐξήρκησεν* **N**^{1} ... *ἤρκησεν* **N**^{pr}

ἐσιτήγει καὶ ἐκεῖθεν εἰς Κόρινθον. καίτοι ὦ ἄνδρες καὶ 27
περὶ τούτων οἱ ὑμέτεροι νόμοι τὰς ἐσχάτας τιμωρίας
ὁρίζουσιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ ποι σιτηγήσῃ ἢ ὡς
ὑμᾶς. ἔπειτα τὸν προδόντα μὲν ἐν τῷ πολέμῳ, σιτηγή-
σαντα δὲ παρὰ τοὺς νόμους, μὴ φροντίσαντα δὲ μήτε
ἱερῶν μήτε πατρίδος μήτε νόμων, τοῦτον ἔχοντες ὑπὸ τῇ
ὑμετέρᾳ ψήφῳ, οὐκ ἀποκτενεῖτε καὶ παράδειγμα τοῖς ἄλ-
λοις ποιήσετε; πάντων ἄρ' ἀνθρώπων ῥᾳθυμότατοι ἔσεσθε,
καὶ ἥκιστα ἐπὶ τοῖς δεινοῖς ὀργιζόμενοι.
Καὶ ταῦτα δ' ὦ ἄνδρες ἐμοῦ θεωρήσατε, ὡς δικαίαν 9 28
τὴν ἐξέτασιν ποιουμένου περὶ τούτων. οὐ γὰρ οἶμαι δεῖν
ὑμᾶς ὑπὲρ τηλικούτων ἀδικημάτων εἰκάζοντας, ἀλλὰ τὴν
ἀλήθειαν εἰδότας ψηφίζεσθαι, καὶ τοὺς μάρτυρας μὴ δώ-
σοντας ἔλεγχον μαρτυρεῖν, ἀλλὰ δεδωκότας. προὐκαλε-
σάμην γὰρ αὐτοὺς πρόκλησιν ὑπὲρ τούτων ἁπάντων γρά-
ψας καὶ ἀξιῶν βασανίζειν τοὺς τούτου οἰκέτας, ἧς {προσ-
κλήσεως} ⟨ἀκοῦσαι⟩ ἄξιόν ἐστιν. καί μοι λέγε ταύτην.

ΠΡΟΚΛΗΣΙΣ

Ἀκούετε ὦ ἄνδρες τῆς προκλήσεως. ἅμα τοίνυν ταύτην 29
Λεωκράτης οὐκ ἐδέχετο, καὶ κατεμαρτύρει αὐτοῦ, ὅτι προ-
δότης τῆς πατρίδος ἐστίν· ὁ γὰρ τὸν παρὰ τῶν συνειδότων
ἔλεγχον φυγὼν ὡμολόγηκεν ἀληθῆ εἶναι τὰ εἰσηγγελμένα.

3 s. lex in [Demosth.] 35, 51 cf. [Demosth.] 34, 37 e quibus videtur *ἄλλοσέ ποι σιτηγεῖν* ad verbum a Lyc. redditum

2 *ἡμέτ.* **N** || **3** *ποι* **M**: *πη* **AN**^{1} (*που* **N**^{pr} ut vid.) || **4** *ἡμᾶς* **N** || **6** *ὑπὸ* ci. Herw., cf. p. 34, 2. 77, 15; v. etiam Bl. (Jahrb. f. cl. Philol. 111, 1875, 600): *ἐπὶ* **N** (ret. Gebhardt, Adnot. crit. 32–33) *ἐν* **A** (apogr.) || **7** *τοῖς ἄλλοις* **N**: *τοῖς ἄ. ἀνθρώποις* **A**, sed cf. infr. *ἀνθρώπων* et Din. 1, 15 (Cohn) || **8** *ἔσ. ῥᾳθ.* Bl. || **11** *ποιοῦμαι?* (pro *ποιουμένου*) Ri. || **14** *προὐκ.* Tayl.: *παρεκαλ.* || **15** *αὐτοὺς* **N** (apogr.) et ci. Dobr.: *αὐτὸν* || **16** post *οἰκέτας* in **A** v. dimidius vacuus: *ἧς ἀκοῦσαι ἄξιόν η προκλήσεις προκλήσοι ἄξιόν ἐστι* **N** *ἐστιν* Bl. (cl. p. 58, 27. 61, 3. 68, 3. 73, 4. 79, 15): *τῇ προκλήσει προσέχειν ἄ. ἐ.* Schedlbauer *τῇ προκλήσεις προκαλεῖσθαι ἄ. ἐ.* Jernstedt || **20** *Λεωκρ.* Ald.: *ἃ σωκράτης* | *καὶ* om. **A**^{pr} || **21** *τὸν παρὰ τῶν* Schoem.: *τῶν* (*τὸν* **A(B)**) *πάντων* libri *τὸν τῶν πάντ' αὐτῷ* Herw. *τῶν πάντα* Cohn *τὸν τῶν πάντα* Gebhardt, Adnot. crit. 42–43

τίς γὰρ ὑμῶν οὐκ οἶδεν, ὅτι περὶ τῶν ἀμφισβητουμένων πολὺ δοκεῖ δικαιότατον καὶ δημοτικώτατον εἶναι, ὅταν οἰκέται ἢ θεράπαιναι συνειδῶσιν ἃ δεῖ, τούτους ἐλέγχειν καὶ βασανίζειν, καὶ τοῖς ἔργοις μᾶλλον ἢ τοῖς λόγοις πιστεύειν, ἄλλως τε καὶ περὶ πραγμάτων κοινῶν καὶ μεγάλων
30 *καὶ συμφερόντων τῇ πόλει; ἐγὼ τοίνυν τοσοῦτον ἀφέστη-*
κα τοῦ ἀδίκως τὴν εἰσαγγελίαν κατὰ Λεωκράτους ποιήσασθαι, ὅσον ἐγὼ μὲν ἐβουλόμην τοῖς ἰδίοις κινδύνοις ἐν τοῖς Λεωκράτους οἰκέταις καὶ θεραπαίναις βασανισθεῖσι τὸν ἔλεγχον γενέσθαι, οὑτοσὶ δὲ διὰ τὸ συνειδέναι ἑαυτῷ οὐχ ὑπέμεινεν ἀλλ' ἔφυγε. καίτοι ὦ ἄνδρες πολὺ θᾶττον οἱ Λεωκράτους οἰκέται καὶ θεράπαιναι τῶν γενομένων ἄν τι ἠρνήθησαν, ἢ τὰ μὴ ὄντα τοῦ αὑτῶν δεσπότου κατ-
10 31 p. 152 *εψεύσαντο. χωρὶς τοίνυν τούτων Λεωκράτης | ἀναβοήσε-*
ται αὐτίκα ὡς ἰδιώτης ὤν, καὶ ὑπὸ τῆς τοῦ ῥήτορος καὶ συκοφάντου δεινότητος ἀναρπαζόμενος· ἐγὼ δ' ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι, ὅτι τῶν μὲν δεινῶν καὶ συκοφαντεῖν ἐπιχειρούντων ἔργον ἐστὶν ἅμα τοῦτο προαιρεῖσθαι καὶ ζητεῖν τὰ χωρία ταῦτα, ἐν οἷς τοὺς παραλογισμοὺς κατὰ τῶν ἀγωνιζομένων ποιήσονται, τῶν δὲ δικαίως τὰς κρίσεις ἐνισταμένων καὶ τοὺς ἐνόχους ταῖς ἀραῖς ἀκριβῶς ἀποδεικνύντων τἀναντία φαίνεσθαι τούτοις ποιοῦντας, ὥσπερ
32 *ἡμεῖς. οὑτωσὶ δὲ διαλογίζεσθε περὶ τούτων παρ' ὑμῖν*
αὐτοῖς. τίνας ἀδύνατον ἦν τῇ δεινότητι καὶ ταῖς παρασκευαῖς ταῖς τοῦ λόγου παραγαγεῖν; κατὰ φύσιν τοίνυν βασανιζόμενοι πᾶσαν τὴν ἀλήθειαν περὶ πάντων τῶν ἀδικημάτων

2 *δημοτικώτατον* Ernesti: *δημοτικὸν* || **3** *ἃ ⟨εἰδέναι⟩ δεῖ* Frohb. (sim. Tayl. Rei.); Isae. 8, 12 (*καὶ δέῃ εὑρεθῆναί τι*) et Demosth. 30, 37 cf. Rosb. *ἃ ζητεῖται* ci. Cor. || **8** *τοῖς ἰδίοις κινδύνοις* Rei.: *τοὺς ἰδίους κινδύνους* libri *τοὺς ἰδ. κινδ. ⟨ὑπομένων⟩* Ri. cl. *ὑπέμεινεν* p. 44, 11. 60, 8 || **10** '*οὑτοσί* pro *οὗτος* non recte positum est: aut add. *Λεωκρ.* ut p. 42, 4s. 45, 2. 46, 9. 51, 6, aut reponendum *οὗτος*; cf. RhM 44, 1889, 1ss.' Bl. | *διὰ τὸ ⟨τούτους⟩ συνειδ.* Sch. | *ἑαυτῷ* N et ci. Steph.: *ἑαυτὸν* || **12** *γεν.* Bk. (Add.): *λεγ.* || **14** *μὲν* post *Λεωκρ.* add. Bl. || **15** *καὶ*[1] del. Es || **20** *δικαίων* A[pr] || **21** *ἀραῖς*] *γραφαῖς*? Meier || **23** *ὑμεῖς* A || **25** *παραγαγεῖν*; ⟨*οἱ δοῦλοι.*⟩ sed debebat esse *τοὺς δούλους* Ri. | *κατὰ φύσιν γοῦν* Dobr. *κατὰ φ. τίνες . . . φράσειν*; Gebauer

ἔμελλον φράσειν οἱ οἰκέται καὶ αἱ θεράπαιναι. ἀλλὰ τού-
τους {ὁ} Λεωκράτης παραδοῦναι ἔφυγε, καὶ ταῦτα οὐκ
ἀλλοτρίους, ἀλλ' αὐτοῦ ὄντας. τίνας δὲ δυνατὸν εἶναι δοκεῖ 33
τοῖς λόγοις ψυχαγωγῆσαι, καὶ τὴν ὑγρότητα αὐτῶν τοῦ
ἤθους τοῖς δακρύοις εἰς ἔλεον προαγαγέσθαι; τοὺς δικα-
στάς. ἐνταῦθα Λεωκράτης ὁ προδότης τῆς πατρίδος ἐλήλυ-
θεν, οὐδὲν ἕτερον ἢ φοβούμενος, μὴ ἐκ τῆς αὐτῆς οἰκίας
οἵ τ' ἐξελέγχοντες τῷ ἔργῳ καὶ ὁ ἐξελεγχόμενος γένηται.
τί γὰρ ἔδει προφάσεων ἢ λόγων ἢ σκήψεως; ἁπλοῦν τὸ
δίκαιον, ῥᾴδιον τὸ ἀληθές, βραχὺς ὁ ἔλεγχος. εἰ μὲν ὁμο- 34
λογεῖ τὰ ἐν τῇ εἰσαγγελίᾳ ἀληθῆ καὶ ὅσια εἶναι, τί οὐ τῆς
ἐκ τῶν νόμων τιμωρίας τυγχάνει; εἰ δὲ μή φησι ταῦτα
ἀληθῆ εἶναι, τί οὐ παραδέδωκε τοὺς οἰκέτας καὶ τὰς θερα-
παίνας; προσήκει γὰρ τὸν ὑπὲρ προδοσίας κινδυνεύοντα
καὶ παραδιδόναι {καὶ} βασανίζειν καὶ μηδένα τῶν ἀκρι-
βεστάτων ἐλέγχων φεύγειν. ἀλλ' οὐδὲν τούτων ἔπραξεν. 35
ἀλλὰ καταμεμαρτυρηκὼς ἑαυτοῦ, ὅτι προδότης ἐστὶν τῆς
πατρίδος καὶ τῶν ἱερῶν καὶ τῶν νόμων, ἀξιώσει ὑμᾶς
ἐναντία ταῖς αὐτοῦ ὁμολογίαις καὶ μαρτυρίαις ψηφίσα-
σθαι; καὶ πῶς δίκαιόν ἐστι τὸν τὴν ἐξουσίαν τῆς ἀπολογίας
αὐτοῦ ἔξ ἄλλων τε πολλῶν καὶ ἐκ τοῦ μὴ δέξασθαι τὰ
δίκαια περιῃρημένον, τοῦτον ἐᾶσαι ὑμᾶς αὐτοὺς ὑπὲρ τῶν
ὁμολογουμένων ἀδικημάτων ἐξαπατῆσαι;

Περὶ μὲν οὖν τῆς προκλήσεως καὶ τοῦ ἀδικήματος, 36
ὅτι ὁμολογούμενόν ἐστιν, ἱκανῶς ὑμᾶς ἡγοῦμαι ὦ ἄν-
δρες μεμαθηκέναι· ἐν οἷς δὲ καιροῖς καὶ ἡλίκοις κινδύνοις 11
τὴν πόλιν οὖσαν Λεωκράτης προδέδωκεν, ἀναμνῆσαι ὑμᾶς
βούλομαι. καί μοι λαβὲ τὸ ψήφισμα γραμματεῦ τὸ Ὑπερεί-
δου, καὶ ἀναγίγνωσκε.

2 ὁ del. Thalh., v. RhM 44, 1889, 6: || **7** s. οὐδὲν ἕτερον ... γένηται post αὐτοῦ ὄντας (v. 3) trp. Ri. || **9** σκέψεως **N** || **14** προσῆκεν Bl. | post προδοσίας deficit **N** usque ad p. 67, 14 || **15** καὶ del. Tayl. || **16. 20** de interpunctione v. Blass, Att. Bereds.[2] 3/2, 132, 3 || **18** ὑμᾶς ἀξ. Bl. propter hiat. || **20** καὶ] καίτοι Rosbg. || **26** οἷς] οἵοις Es Rosbg.; Demosth. 21, 202 conf. Frohb. || **27** τὴν πόλιν post Λεωκρ. iterat **A**^{pr} sed punctis del. || **28** -ρείδου Ald.: -ρίδου

ΨΗΦΙΣΜΑ

37 *Ἀκούετε τοῦ ψηφίσματος ὦ ἄνδρες, ὅτι τὴν βουλὴν τοὺς
πεντακοσίους καταβαίνειν εἰς Πειραιᾶ χρηματιοῦσαν περὶ
φυλακῆς τοῦ Πειραιέως ἐν τοῖς ὅπλοις ἔδοξε, καὶ πράττειν
διεσκευασμένην ὅ τι ἂν δοκῇ τῷ δήμῳ συμφέρον εἶναι.
καίτοι ὦ ἄνδρες εἰ οἱ ἀφειμένοι τοῦ στρατεύεσθαι ἕνεκα
τοῦ βουλεύεσθαι ὑπὲρ τῆς πόλεως ἐν τῇ τῶν στρατιωτῶν
τάξει διέτριβον, ἆρ᾽ ὑμῖν δοκοῦσι μικροὶ καὶ οἱ τυχόντες*
38 *φόβοι τότε τὴν πόλιν κατασχεῖν; ἐν οἷς Λεωκράτης οὑτοσὶ
καὶ αὐτὸς ἐκ τῆς πόλεως ἀποδρὰς ᾤχετο, καὶ τὰ χρή-
ματα τὰ ὑπάρχοντα ἐξεκόμισε, καὶ ⟨τὰ⟩ ἱερὰ τὰ πατρῷα
μετεπέμψατο, καὶ εἰς τοσοῦτον προδοσίας ἦλθεν, ὥστε
κατὰ τὴν τούτου προαίρεσιν ἔρημοι μὲν ⟨ἂν⟩ ἦσαν οἱ νεῴ
{τῶν ἱερέων}, ἔρημοι δ᾽ αἱ φυλακαὶ τῶν τειχῶν, ἐξελέλει-*
39 *πτο δ᾽ ἡ πόλις καὶ ἡ χώρα. καίτοι κατ᾽ ἐκείνους τοὺς χρό-
νους ὦ ἄνδρες τίς οὐκ ἂν τὴν πόλιν ἠλέησεν, οὐ μόνον
πολίτης, ἀλλὰ καὶ ξένος ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπιδε-
δημηκώς; τίς δ᾽ ἦν οὕτως ἢ μισόδημος τότ᾽ ἢ μισαθήναιος,
ὅστις ἐδυνήθη ἂν ἄτακτον {τὸν} αὑτὸν ὑπομεῖναι ἰδεῖν;
ἡνίκα ἡ μὲν ἧττα καὶ τὸ γεγονὸς πάθος τῷ ⟨δήμῳ⟩ προσ-
ηγγέλλετο, ὀρθὴ δ᾽ ἦν ἡ πόλις ἐπὶ τοῖς συμβεβηκόσιν, αἱ
δ᾽ ἐλπίδες τῆς σωτηρίας τῷ δήμῳ ἐν τοῖς ὑπὲρ πεντή-*
40
p. 158 *κοντ᾽ ἔτη γεγονόσι καθειστήκεσαν, ὁρᾶν δ᾽ ἦν | ἐπὶ μὲν*

21 cf. Choricii or. 2, 24 (ed. Foerster, p. 34, 10) *ὀρθῆς οὖν τῆς πόλεως γενομένης τῷ φόβῳ κτέ.* || **23** *ὁρᾶν δ᾽ ἦν*] cf. Xen. Hell. 6, 4, 16 *ἦν ὁρᾶν*

1 tit. om. in lac. **A(B)** || **6** *ἀφειμ.* A. G. Becker cl. p. 47, 6: *ἀφιέμ.* **A(BL^{c}P)**, quod def. Malcov. *ἀφέμ.* **MZ** || **11** ⟨τὰ⟩ Halm || **13** *τούτου* ci. Thalh.: *αὐτοῦ* libri *αὑτοῦ* Turr. | *ἂν* add. Bl. ut vid. | *νεῴ* Bl. cl. p. 33, 20. 42, 10. (48, 12.) 87, 16. 89, 8 fr. V. 6: *ναοὶ* || **14** *τῶν ἱερέων*, del. Heinr. (def. Rehd.) *τῶν ἱερῶν* Rosbg. || **19** *ἐδυνήθη* (*ἠδ.* A^{pr}) del. Cor., acc. Bl. | *αὑτὸν* Turr. (*ἑαυ-* Ald.): *τὸν αὐ-* libri | *ὑπέμεινεν* Cor. acc. Bl. || **20** *τῷ* ⟨*δήμῳ*⟩ Ald.: *τῷ* libri *τῷ* ⟨*στρατοπέδῳ*⟩ quod a *γεγονός* penderet Meier (prob. Rehd.) *τῷ* ⟨*στρατῷ*⟩ Petrie *ἀρτίως* Bl. *τῷ* omnino abesse malint Osann Turr. | *προσήγγελτο* Es || **21** *ἐπὶ τοῖς* Bk. cf. p. 43, 9: *ἐν τοῖς* || **23** num {*γεγονόσι*} cl. Hyper. 1, 22, 5 J.? Bl.

*τῶν θυρῶν γυναῖκας ἐλευθέρας, περιφόβους κατεπτηχυίας
καὶ πυνθανομένας, εἰ ζῶσιν, τὰς μὲν ὑπὲρ ἀνδρός, τὰς δ'
ὑπὲρ πατρός, τὰς δ' ὑπὲρ ἀδελφῶν, ἀναξίως αὑτῶν καὶ
τῆς πόλεως ὁρωμένας, τῶν δ' ἀνδρῶν τοὺς τοῖς σώμασιν
ἀπειρηκότας καὶ ταῖς ἡλικίαις πρεσβυτέρους καὶ ὑπὸ τῶν
νόμων τοῦ στρατεύεσθαι ἀφειμένους ἰδεῖν ἦν καθ' ὅλην
τὴν πόλιν τότ' ἐπὶ γήρως ὁδῷ περιφθειρομένους, διπλᾶ τὰ
ἱμάτια ἐμπεπορπημένους. πολλῶν δὲ καὶ δεινῶν κατὰ τὴν* 41
*πόλιν γιγνομένων, καὶ πάντων τῶν πολιτῶν τὰ μέγιστα ἠτυ-
χηκότων, μάλιστ' ἄν τις ἤλγησεν καὶ ἐδάκρυσεν ἐπὶ ταῖς
τῆς πόλεως συμφοραῖς, ἡνίχ' ὁρᾶν ἦν τὸν δῆμον ψηφισά-
μενον τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς δὲ ξένους Ἀθηναί-
ους, τοὺς δ' ἀτίμους ἐπιτίμους· ὃς πρότερον ἐπὶ τῷ αὐτόχθων
εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. τοσαύτῃ δ' ἡ πόλις ἐκέ-* 42
*χρητο μεταβολῇ, ὥστε πρότερον μὲν ὑπὲρ τῆς τῶν ἄλλων
Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι, ἐν δὲ τοῖς τότε χρόνοις
ἀγαπᾶν, ἐὰν ὑπὲρ τῆς αὑτῶν σωτηρίας ἀσφαλῶς δύνηται
διακινδυνεῦσαι, καὶ πρότερον μὲν πολλῆς χώρας τῶν
βαρβάρων ἐπάρχειν, τότε δὲ πρὸς Μακεδόνας ὑπὲρ τῆς
ἰδίας κινδυνεύειν· καὶ τὸν δῆμον ὃν πρότερον Λακεδαι-
μόνιοι καὶ Πελοποννήσιοι καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες
Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, τοῦτον ἔδει τότ' ἐξ Ἄνδρου
καὶ Κέω καὶ Τροιζῆνος καὶ Ἐπιδαύρου ἐπικουρίαν αὑτῷ*

4–8 excerpsit Suda s. v. *πεπορπημένος*

1 *ἐλευθέραις* **A**[pr] (*-αις* in *-ας* mut. **A**[1]) | *περιφόβους* (et *εἰ ζῶσιν* v. 2) del. Cobet, sed de *εἰ ζῶσιν* cf. Eur. Heracl. 791; Hom. *Z* 239 || **4** *ὁρωμένας* varie emend. viri docti; v. ed. Sch.: *ὀδυρομένας* Orelli Ri. *φερομένας* Bk. (Add.) del. Pezop. || **5** *ταῖς ἡλικίαις* Suda: *τὰς ἡλικίας* libri, ret. Cima Malcov. || **6** *ἀφειμένους* Suda: *ἀφεμ.* || **7** *τὴν* et *τότ'* add. Suda | *ὁδῷ περιφθ.* Suda: *οὐδῷ διαφθ.* libri (*οὐδῷ* ret. Malcov., sed cf. Hyper. 1, 22, 13 s. J. Menandri fr. 629 Koerte et Meisterhans[3] p. 27. 23) || **7-8** *τὰ ἱμ.* libri (*τὰ* om. Suda): *θαἰμ.* Bl. || **13** *ἐπιτίμους* (Dobr.) Baiter *ἐντ.* (cf. p. 46, 16 s.): | *πρότερον* Osann: *πρῶτον* libri *πρὸ τοῦ* Bk. (Add.) || **18** *διακ.* **M** (*δια-* scr. corr.) **Z** et praefert Es Frohbg.: *κινδ.* || **22** *τοῦτον ἔδει τότ'* Bl., v. comm. cr. ed. Blassianae (*τοῦτον ἔδει τὴν* Rei.): *οὗτος ἐδεῖτο τῶν* libri (ret. Malcov.) || **23** *Τροζ.* Bl.

43 *μεταπέμψασθαι. ὥστε ὦ ἄνδρες τὸν ἐν τοῖς τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ⟨τὰ⟩ ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος, μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλὰ φυγόντα καὶ προδόντα τὴν τοῦ δήμου σωτηρίαν, τίς ἂν ἢ δικαστὴς φιλόπολις καὶ εὐσεβεῖν βουλόμενος ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε; τὸν οὐδὲ συμπενθῆσαι τὰς τῆς πατρίδος συμφορὰς τολμήσαντα, οὐδὲ συμβεβλημένον οὐδὲν εἰς τὴν τῆς πόλεως καὶ τοῦ δήμου σωτηρίαν, ὅθ' ἡ μὲν χώρα τὰ δένδρα συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας, οἱ*
44 *δὲ νεῴ τὰ ὅπλα. καίτοι κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχεν ἑαυτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν· ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς τῶν τάφρων, οἱ δὲ τῆς χαρακώσεως· οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει. ἐφ' ὧν οὐδενὸς τὸ*
45 *σῶμα τὸ ἑαυτοῦ παρέσχε τάξαι Λεωκράτης. ὧν εἰκὸς ὑμᾶς ἀναμνησθέντας τὸν μηδὲ συνεξενεγκεῖν μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων θανάτῳ ζημιῶσαι, ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων· ὧν οὗτος οὐδὲ τὰς θήκας παριὼν ᾐσχύνθη, ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων.*

12
46 *Περὶ ὧν ⟨ὦ⟩ ἄνδρες μικρῷ πλείω βούλομαι διελθεῖν, καὶ ὑμῶν ἀκοῦσαι δέομαι καὶ μὴ νομίζειν ἀλλοτρίους εἶναι*

3 *-λιπόντα* Ald.: *-λείποντα* | *τὰ* add. Es (*θὤπλα* Herw.) || **7** *ψήφῳ* propter hiat. secl. Bl. || **8 s.** *τῷ οὐδὲ . . . τολμήσαντι* Herw. || **10** *τῆς πόλεως καὶ* secl. Bl. || **10—12** verba *ὅθ' ἡ μὲν χ. . . . ὅπλα,* quae infr. post *σωτηρίαν* v. 14 habent libri, huc trp. Bl. || **12** *νεῴ* Melanchth. Pierson: *νέοι* || **13** *παρέσχεν* Bl. cl. v. 17: *-έσχετο* | *εἰς τὴν τ. π. σωτηρίαν* del. Herw. || **17** *παρέσχε* ci. Bk. cl. v. 4. p. 53, 2. 60, 7. 89, 11: *-έσχετο* libri *παρέσχε τό⟨τε⟩* Schedlbauer || **18** *συνεξενεγκεῖν* Dobr.: *συνενεγκεῖν* (*ξυν-* **LP**)**MZ** Petrie (de quo cf. Xen. Anab. 6, 4, 9 et 6, 5, 6) *ξυνεγκεῖν* **A**(**B**); *μηδ' ἐξενεγκεῖν* Thalh. *μηδὲν συνεισενεγκεῖν* ci. Navarre (*μηδὲν ξυνενεγκεῖν* iam Cor. *μηδὲ ξυνεισενεγκεῖν* Maetzner), alii alia | *μηδ' ἐπ' ἐκφ. ἐλθεῖν* del. Dobr. || **20** *θανάτῳ χρὴ ζημ.* $\mathbf{A}^{pr}$ (*χρὴ* punctis del.) || **24** *ὦ* add. **MZ**

τοὺς τοιούτους ⟨λόγους⟩ τῶν δημοσίων ἀγώνων· αἱ γὰρ
τῶν ἀγαθῶν ἀνδρῶν εὐλογίαι τὸν ἔλεγχον σαφῆ κατὰ
τῶν τἀναντία ἐπιτηδευόντων ποιοῦσιν. ἔτι δὲ καὶ δίκαιον
τὸν ἔπαινον, ὃς μόνος ἆθλον τῶν κινδύνων τοῖς ἀγαθοῖς
ἀνδράσιν ἐστί, τοῦτον, ἐπειδὴ καὶ ἐκεῖνοι εἰς τὴν κοινὴν
σωτηρίαν τῆς πόλεως τὰς ψυχὰς αὑτῶν ἀνήλωσαν, ἐν τοῖς
δημοσίοις καὶ κοινοῖς ἀγῶσι τῆς πόλεως μὴ παραλείπειν.
ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις τῆς 47
Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι,
οὐκ ἐν τοῖς τείχεσι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχοντες,
οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς,
ἀλλὰ τὴν μὲν αὑτῶν ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν
εἶναι νομίζοντες τῶν λιθίνων περιβόλων, τὴν δὲ θρέψασαν
αὑτοὺς αἰσχυνόμενοι περιορᾶν πορθουμένην, εἰκότως·
ὥσπερ γὰρ πρὸς τοὺς φύσει γεννήσαντας καὶ τοὺς ποιητοὺς 48
τῶν πατέρων οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις,
οὕτω καὶ πρὸς τὰς | χώρας τὰς μὴ φύσει προσηκούσας, p. 154
ἀλλ' ὕστερον ἐπικτήτους γενομένας καταδεέστερον διά-
κεινται. τοιαύταις δὲ γνώμαις χρησάμενοι, καὶ τοῖς ἀρί-
στοις ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες, οὐχ
ὁμοίως τῆς τύχης ἐκοινώνησαν· τῆς γὰρ ἀρετῆς οὐ ζῶντες
ἀπολαύουσιν, ἀλλὰ τελευτήσαντες τὴν δόξαν καταλελοί-
πασιν, οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες ἔνθαπερ ἐτάχθη-
σαν ὑπὲρ τῆς ἐλευθερίας ἀμύνοντες. εἰ δὲ δεῖ καὶ παρα- 49

15 – p. 50, 17]: de ratione quae inter haec verba et Ps.-Demosthenis epitaphium est v. P. Maas, Zitate aus Demosthenes' Epitaphios bei Lykurgos, Hermes 63, 1928, 258–260; cf. etiam M. Pohlenz, Symb. Osloenses 26, 1948, 50ss.

1 *λόγους* add. Rei. | *ἀγώνων* Rei.: *-ῶνας* (*τῶν τοιούτων τοὺς δ. ἀγῶνας* Maetzner *τοῖς τοιούτοις τοὺς δ. ἀγῶνας* Franke *τοὺς δημοσίους τῶν τοιούτων*? Thalh.) || **6** *τῆς πόλ.* del. Muret | *τὰς* post *ψυχὰς* add. Turr. sed cf. Gebhardt, Adnot. crit. 28 | *ἀνήλ.* Muret.: *ἀνάλ.* || **7** *-λείπειν* Es: *-λιπεῖν* || **10** *ἐν* Es, cf. Gebhardt, Adnot. crit. 32: *ἐπὶ* || **12** *μὲν* om. A[pr] || **13** *θρέψ.* A (*θάψ.* BL) || **16** *τῆς εὐνοίας* Dobr. *εὐνοίας* Es || **17** *πρὸς* add. A[1] || **19** *δὲ*] *γὰρ* A[pr] || **22** *καταλελοιπ.* Bk. (Add.): *ἐγκαταλ.* || **23** *ἔνθαπερ ἐτ.* Markland: *ἔνθα παρετ.* || **24** '*ἀμυνοῦντες* Tayl. Dobr. recte, si cum *ἐτάχθησαν* coniungendum est' Bl. | *παραδοξότερον* Dobr. Hertlein cl. p. 54, 15 *-ξον* Dobr. Naber fort recte

δοξότατον μὲν εἰπεῖν, ἀληθὲς δέ, ἐκεῖνοι νικῶντες ἀπέθα-
νον. ἃ γὰρ ἆθλα τοῦ πολέμου τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστίν,
ἐλευθερία καὶ ἀρετή, ταῦτ' {γὰρ} ἀμφότερα τοῖς τελευτή-
σασιν ὑπάρχει. ἔπειτα δ' οὐδ' οἷόν τ' ἐστὶν εἰπεῖν ἡττῆ-
σθαι τοὺς ταῖς διανοίαις μὴ πτήξαντας τὸν τῶν ἐπιόντων
φόβον. μόνους γὰρ τοὺς ἐν τοῖς πολέμοις καλῶς ἀποθνή-
σκοντας οὐδ' ἂν εἷς ἡττῆσθαι δικαίως φήσειε· τὴν γὰρ δου-
50 *λείαν φεύγοντες εὐκλεᾶ θάνατον αἱροῦνται. ἐδήλωσε δ' ἡ*
τούτων τῶν ἀνδρῶν ἀρετή· μόνοι γὰρ τῶν ἁπάντων τὴν
τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον.
ἅμα γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν, καὶ τὰ τῆς Ἑλλά-
δος εἰς δουλείαν μετέπεσεν· συνετάφη γὰρ τοῖς τούτων
σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία. ὅθεν καὶ φανερὸν
πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ ὑπὲρ ⟨τῆς⟩ κοι-
νῆς ἐλευθερίας προκινδυνεύοντες. ὥστε ὦ ἄνδρες οὐκ ⟨ἂν⟩
αἰσχυνθείην εἰπὼν στέφανον τῆς πατρίδος εἶναι τὰς ἐκεί-
51 *νων ψυχάς. καὶ δι' ἃ οὐκ ἀλόγως ⟨ἀνδρείαν⟩ ἐπετήδευον,*
ἐπίστασθε ὦ Ἀθηναῖοι μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς
ἄνδρας τιμᾶν· εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς
ἀγοραῖς ἀθλητὰς ἀνακειμένους, παρ' ὑμῖν δὲ στρατηγοὺς
ἀγαθοὺς καὶ τοὺς τὸν τύραννον ἀποκτείναντας. καὶ τοιού-
τους μὲν ἄνδρας οὐδ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ὀλίγους εὑρεῖν
ῥᾴδιον, τοὺς δὲ τοὺς στεφανίτας ἀγῶνας νενικηκότας εὐ-

11 ss. cf. Just. 9, 3; Paus. 1, 25, 3. 9, 6, 5 al. || **16** *στέφανον τῆς πατρίδος*] ad sententiam cf. etiam Porphyr. vit. Pythag. 42 *στέφανόν τε μὴ τίλλειν, τοῦτ' ἔστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι.*

2—3 *ἃ γὰρ . . ., ταῦτ'* ci. Cor. Dobr.: *τὰ γὰρ . . .· ταῦτα γὰρ* libri *τὰ γὰρ . . .· ταῦτ' ἄρ'* Rosbg. Rehd., alii alia || **4** *ἡττῆσθαι τοὺς* Tayl. cf. Isocr. 4, 92: *ἥττης αἰτίους τοὺς* || **5** *τὰς διανοίας . . . τῷ . . . φόβῳ* (Herw.) Es || **14** *τῆς κοινῆς* Herw.: *κοινῆς* || **15** *. . . κινδυνεύοντες* A^{pr} | *ἂν* add. Bk. || **17** *ψυχὰς*] *τύχας* Es cl. p. 75, 5 | *καὶ δι' ἃ κτέ.* locus turbatus, ut vid.: '*καὶ νὴ Δία* pro *καὶ δι' ἃ* Cor. Herw., cf. p. 86, 15; dein *ἐπίστ. γὰρ* vel *ἐπεὶ ἐπίστ.*; *ἃ νὴ Δία οὐκ ἀλ. ἐπ.' ἐπίστασθε γὰρ* ci. Rehd. malim autem utique *δι' ἅ γ'* (*ἀλόγως ⟨γ'⟩* Herw.)' Bl. *καὶ γὰρ δι' ἃ* Rei. *ὡς δ' αὖτ' οὐκ ἀλ. ἐπ., . . . τιμᾶν* s. *τιμῶντες* Pezop. | *ἀνδρείαν* add. Bl. || **19** *εὑρ. γὰρ* Saup. || **22** *οὐδ'* om. A^{pr}

πετῶς πολλαχόθεν ἔστι γεγονότας ἰδεῖν. ὥσπερ τοίνυν τοῖς εὐεργέταις μεγίστας τιμὰς ἀπονέμετε, οὕτω δίκαιον καὶ τοὺς τὴν πατρίδα καταισχύνοντας καὶ προδιδόντας ταῖς ἐσχάταις τιμωρίαις κολάζειν.

Σκέψασθε δ' ὦ ἄνδρες, ὅτι οὐδ' ἐν ὑμῖν ἐστιν ἀποψηφί- **13** 52
σασθαι Λεωκράτους τουτουί, τὰ δίκαια ποιοῦσι. τὸ γὰρ ἀδίκημα τοῦτο κεκριμένον ἐστὶ καὶ κατεγνωσμένον. ἡ μὲν γὰρ ἐν Ἀρείῳ πάγῳ βουλή (καὶ μηδείς μοι θορυβήσῃ· ταύτην γὰρ ὑπολαμβάνω μεγίστην τότε γενέσθαι τῇ πόλει σωτηρίαν) τοὺς φυγόντας τὴν πατρίδα καὶ ἐγκαταλιπόντας τότε τοῖς πολεμίοις ⟨συλ⟩λαβοῦσα ἀπέκτεινε. καίτοι ὦ ἄνδρες μὴ νομίζετε τοὺς τὰ τῶν ἄλλων φονικὰ ἀδικήματα ὁσιώτατα δικάζοντας αὐτοὺς ἂν εἴς τινα τῶν πολιτῶν
τοιοῦτόν τι παρανομῆσαι. ἀλλὰ μὴν Αὐτολύκου γε ὑμεῖς 53
κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱεῖς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρήσασθε. καίτοι εἰ τὸν τοὺς ἀχρήστους εἰς τὸν πόλεμον ὑπεκθέσθαι αἰτίαν ἔχοντα ἐτιμωρήσασθε, τί δεῖ πάσχειν ὅστις ἀνὴρ ὢν οὐκ ἀπέδωκε τὰ τροφεῖα τῇ πατρίδι; ἔτι δὲ ὁ δῆμος, δεινὸν ἡγησάμενος εἶναι τὸ γιγνόμενον, ἐψηφίσατο ἐνόχους εἶναι τῇ προδοσίᾳ τοὺς φεύγοντας τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον, ἀξίους εἶναι νομίζων τῆς
ἐσχάτης τιμωρίας. ἃ δὴ κατέγνωσται μὲν παρὰ τῷ δικαιο- 54
τάτῳ συνεδρίῳ, κατεψήφισται δ' ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων, ὁμολογεῖται δὲ παρὰ τῷ δήμῳ τῆς μεγίστης

14 s. *Αὐτολύκου γε ὑμεῖς κατεψηφίσασθε κτέ.*, **cf. Harpocr. s. v.** *Αὐτόλυκος*, etc. (Kirchner, P. A. 2746)

1 *⟨πολλούς⟩ πολλαχ.* Es ‖ **2** *⟨τὰς⟩ μεγίστας* Rei., cf. Gebhardt Adnot. crit. 21 ss. | *δίκαιοι* Bl., qui etiam *καὶ* del. ‖ **5** *οὐδ' ἐν* Tayl.: *οὐδὲν* libri *οὐδ' ἐφ'* ci. Bk. ‖ **8** *ἐν Ἀ. π.* Bk. (Add.): *ἐπ' Ἀ. π.* ‖ **10** *φυγόντας* A. G. Becker: *φεύ-* libri (*-τα* A) | *-λείποντας* Rehd. ‖ **11** *τοῖς πολεμίοις* Bk. cl. p. 64, 17. 67, 8. 84, 2. 85, 4 s. 89,6: *τοὺς πολεμίους* libri *ὡς π.* Ald. (rec. Bl.) | *⟨συλ⟩λαβ.* Naber ‖ **14** *γε* Gebauer: *μὲν* ‖ **15** *αὐτοῦ* (= ibi) ut supervacaneum del. Bl., sed *αὐτοῦ* = ipsius ‖ **17** *καὶ ἐτιμωρ.* del. Dobr. ‖ **17—18** *καίτοι . . . ἐτιμωρήσασθε* om. A[pr] ‖ **25** *ὡμολόγηται* cum Cor. mal. Bl.

ἄξια εἶναι τιμωρίας, τούτοις ὑμεῖς ἐναντία ψηφιεῖσθε; πάντων ἄρ᾽ ἀνθρώπων ἔσεσθε ἀγνωμονέστατοι, καὶ ἐλαχίστους ἕξετε τοὺς ὑπὲρ ὑμῶν αὐτῶν κινδυνεύοντας.

14 55 *Ὡς μὲν οὖν ἔνοχός ἐστι τοῖς εἰσηγγελμένοις ἅπασιν ὦ ἄνδρες Λεωκράτης φανερόν ἐστι· πυνθάνομαι δ᾽ αὐτὸν ἐπιχειρήσειν ὑμᾶς ἐξαπατᾶν λέγοντα, ὡς ἔμπορος ἐξέπλευσε καὶ κατὰ ταύτην τὴν ἐργασίαν ἀπεδήμησεν εἰς Ῥόδον. ἐὰν οὖν ταῦτα λέγῃ, ἐνθυμεῖσθ᾽ ᾧ ῥαδίως λήψεσθ᾽ αὐτὸν*
p. 155 *ψευδόμενον. πρῶτον μὲν γὰρ | οὐκ ἐκ τῆς Ἀκτῆς κατὰ τὴν πυλίδα ἐμβαίνουσιν οἱ κατ᾽ ἐμπορίαν πλέοντες, ἀλλ᾽ εἴσω τοῦ λιμένος, ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποστελλόμενοι· ἔπειτα οὐ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαι-*
56 *νῶν, ἀλλὰ μόνοι μετὰ παιδὸς τοῦ διακονοῦντος. πρὸς δὲ τούτοις τί προσῆκεν ἐν Μεγάροις τὸν Ἀθηναῖον {ὡς} ἔμπορον πέντε ἔτη κατοικεῖν, καὶ τὰ ἱερὰ τὰ πατρῷα μετακομίζεσθαι, καὶ τὴν οἰκίαν τὴν ἐνθάδε πωλεῖν, εἰ μὴ κατεγνώκει τε αὑτοῦ προδεδωκέναι τὴν πατρίδα καὶ μεγάλα πάντας ἠδικηκέναι; ὃ καὶ πάντων γένοιτ᾽ ἂν ἀτοπώτατον, εἰ περὶ ὧν αὐτὸς προσεδόκα τεύξεσθαι τιμωρίας, ταῦθ᾽ ὑμεῖς ἀπολύσαιτε κύριοι γενόμενοι τῆς ψήφου. χωρὶς δὲ τούτων οὐχ ἡγοῦμαι δεῖν ἀποδέχεσθαι ταύτην τὴν*
57 *ἀπολογίαν. πῶς γὰρ οὐ δεινὸν τοὺς μὲν κατ᾽ ἐμπορίαν ἀποδημοῦντας σπεύδειν ἐπὶ τὴν τῆς πόλεως βοήθειαν, τοῦτον δὲ μόνον ἐν τοῖς τότε καιροῖς καὶ κατ᾽ ἐργασίαν ἐκπλεῖν, ἡνίκα οὐδ᾽ ἂν εἷς προσκτήσασθαι οὐδὲν ἂν ἐζήτησεν, ἀλλὰ τὰ ὑπάρχοντα μόνον διαφυ-*

1 vel *τούτοι.* vel *τούτου.* A[pr] *⟨περὶ τούτων⟩ τούτοις*? Bl. || **2** *ἄρ᾽* Heinr. cl. p. 43, 8. 60, 13: *γὰρ* || **3** *κινδυνεύσοντας* Bk. cl. Demosth. 21, 166, sed v. Demosth. 24, 143 al. (Frohb.) || **7** *ἀπεδήμησεν*] . . . . . . *εν* A[pr] | *εἰς Ῥόδον* del. Es || **8** *ᾧ*] *ὡς* Baiter (Bl.) || **10** *οἱ κατ᾽ ἐμπ.* om. A[pr] | *ἐκπλέοντες* ut in v. 6. 25? Bl. | *εἴσω* Saup.: *εἰσὶ* libri *ἐκ* Ald. *ἐπὶ* G. Herm. *εὐθὺ ἐκ* Pezop. || **13** *μόνοι* Ald.: *μόνος* || **14** *ὡς* del. ci. Bk. || **15** *πατρῷα* Schoem.: *πάτρια* || **20** *ἀπολύσαιτε* Dobr.: *-λύσετε* || **21** *οὐδ᾽ ἡγοῦμαι* Heinr. || **22** *τοὺς μὲν ⟨ἄλλους⟩ κατ᾽* Herw. Es | *κατ᾽ ἐμπ.* (Steph.) Es: *ἐπὶ ἐμπ.* libri *ἐπὶ ἐμπορίᾳ* Steph. || **24** *καὶ* del. Tayl., sed cf. Gebauer, Argum. ex contr., Zwickau 1877, 361 (Lys. 12, 87 al.)

*λάξαι; ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τίν' ἐμπορίαν
εἰσάγων χρησιμώτερος ἐγένετο ἂν τῇ πόλει τοῦ παρα-
σχεῖν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς καὶ τοὺς ἐπιόν-
τας ἀμύνασθαι μεθ' ὑμῶν μαχόμενος. ἐγὼ μὲν οὐδε-
μίαν ὁρῶ τηλικαύτην οὖσαν βοήθειαν. ἄξιον δ' ἐστὶν* 58
*οὐ μόνον αὐτῷ διὰ τὴν πρᾶξιν ὀργίζεσθαι ταύτην,
ἀλλὰ καὶ διὰ τὸν λόγον τοῦτον· φανερῶς γὰρ ψεύδε-
σθαι τετόλμηκεν. οὔτε γὰρ πρότερον οὐδὲ πώποτε
ἐγένετο ἐπὶ ταύτης τῆς ἐργασίας, ἀλλ' ἐκέκτητο χαλκο-
τύπους, οὔτε τότ' ἐκπλεύσας οὐδὲν εἰσήγαγεν ἐκ Με-
γάρων, ἓξ ἔτη συνεχῶς ἀποδημήσας. ἔτι δὲ καὶ ⟨τῆς⟩
πεντηκοστῆς μετέχων ἐτύγχανεν, ἣν οὐκ ἂν καταλιπὼν
κατ' ἐμπορίαν ἀπεδήμει. ὥστ' ἂν μέν τι περὶ τούτων
λέγῃ, οὐδ' ὑμᾶς ἐπιτρέψειν αὐτῷ νομίζω.*

Ἥξει δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον φερόμενος, ὃν 15 59
*αὐτῷ συμβεβουλεύκασί τινες τῶν συνηγόρων, ὡς οὐκ
ἔνοχός ἐστι τῇ προδοσίᾳ· οὔτε γὰρ νεωρίων κύριος οὔτε
πυλῶν οὔτε στρατοπέδων οὐθ' ὅλως τῶν τῆς πόλεως
οὐδενός. ἐγὼ δ' ἡγοῦμαι τοὺς μὲν τούτων κυρίους μέρος
ἄν τι προδοῦναι τῆς ὑμετέρας δυνάμεως, τουτονὶ δ' ὅλην
ἔκδοτον ποιῆσαι τὴν πόλιν. ἔτι δ' οἱ μὲν τοὺς ζῶντας μόνον
ἀδικοῦσι προδιδόντες, οὗτος δὲ καὶ τοὺς τετελευτηκότας
{καὶ τὰ ἐν τῇ χώρᾳ ἱερά}, τῶν πατρίων νομίμων ἀποστε-
ρῶν· καὶ ὑπὸ μὲν ἐκείνων προδοθεῖσαν οἰκεῖσθαι ἂν συν-* 60
*έβαινε δούλην οὖσαν τὴν πόλιν, ὃν δὲ τρόπον οὗτος ἐξέλιπεν,
ἀοίκητον ἂν γενέσθαι. ἔτι δ' ἐκ μὲν τοῦ κακῶς πράττειν
τὰς πόλεις μεταβολῆς τυχεῖν ἐπὶ τὸ βέλτιον εἰκός ἐστιν,*

1 vel *τίν' ἐμπορίαν εἰσάγειν χρησιμώτερον . . . τοῦ παρασχεῖν . . . καὶ . . . ἀμύνασθαι . . . μαχόμενον* vel *ἢ τῷ παρασχεῖν* Ri. ‖ **3** *τοὺς* om. A[pr] ‖ **11** *τῆς* add. Heinr. ‖ **13** *ἀπεδήμει* ut vid. A[1] et ci. Melanchth.: *ἐπεδήμει* ‖ **23** *καὶ τὰ ἐν τῇ χώρᾳ ἱερά,* del. Herw. Bl. | *πατρίων* Schoem. (Rehd.): *πατρῴων* libri, cf. p. 82, 17. et Bk. *λέξ. ῥητ.* 297, 32 *πάτρια δὲ (λέγουσιν οἱ ῥήτορες) τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς* ‖ **24** *οἰκεῖσθαι* A[c] (*-κει-* in ras. scr. A[1]) ‖ **25** *δούλην . . . ὃν δὲ τρ.* Rei.: *δούλην δὲ . . . ὃν τρ.* libri *δούλην γ'* Schulze Dobr.; 'sed particulae *γε* post *οἰκεῖσθαι* locus est, minime post *δούλην*' Bl. | *ὃν τρόπον ⟨δ'⟩* Saup. ‖ **27** *ἐπὶ τὸ βέλτιον* A[1] in ras. et *λῆς* et *εἰ* a corr.

ἐκ δὲ τοῦ παντάπασι γενέσθαι ἀναστάτους καὶ τῶν κοινῶν ἐλπίδων στερηθῆναι. ὥσπερ γὰρ ἀνθρώπῳ ζῶντι μὲν ἐλπὶς ἐκ τοῦ κακῶς πρᾶξαι μεταπεσεῖν, τελευτήσαντι δὲ συνανῄρηται πάντα δι᾽ ὧν ἄν τις εὐδαιμονήσειεν, οὕτω καὶ περὶ τὰς πόλεις συμβαίνει πέρας
61 ἔχειν τὴν ἀτυχίαν, ὅταν ἀνάστατοι γένωνται. εἰ γὰρ δεῖ τὴν ἀλήθειαν εἰπεῖν, πόλεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. τεκμήριον δὲ μέγιστον· ἡμῶν γὰρ ἡ πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων κατεδουλώθη, τὸ δ᾽ ὕστερον ὑπὸ τῶν τριάκοντα, ⟨ὅτε⟩ καὶ ὑπὸ Λακεδαιμονίων τὰ τείχη καθῃρέθη· καὶ ἐκ τούτων ὅμως ἀμφοτέρων ἠλευθερώθημεν, καὶ τῆς τῶν Ἑλλήνων εὐδαιμονίας ἠξιώθημεν
62 προστάται γενέσθαι. ἀλλ᾽ οὐχ ὅσαι πώποτ᾽ ἀνάστατοι γεγόνασι. τοῦτο μὲν γάρ, εἰ καὶ παλαιότερον εἰπεῖν ἐστι, τὴν Τροίαν τίς οὐκ ἀκήκοεν, ὅτι μεγίστη γεγενημένη τῶν τότε πόλεων καὶ πάσης ἐπάρξασα τῆς Ἀσίας, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, τὸν αἰῶνα ἀοίκητός ἐστι; τοῦτο δὲ Μεσσήνην πεντακοσίοις ἔτεσιν ὕστερον ἐκ τῶν τυχόντων ἀνθρώπων συνοικισθεῖσαν;

16
63 Ἴσως οὖν τῶν συνηγόρων αὐτῷ τολμήσει τις εἰπεῖν, μικρὸν τὸ πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ᾽ ἕνα

15 Strab. 13, 1, 41 extr. ὁμολογοῦσι δὲ καὶ οἱ νεώτεροι τὸν ἀφανισμὸν τῆς πόλεως, ὧν ἔστι καὶ Λ. ὁ ῥήτωρ· μνησθεὶς γὰρ τῆς Ἰλιέων πόλεως φησί 'τίς οὐκ ἀκήκοεν, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφθη, ἀοίκητον οὖσαν;' cf. Eustath. 460, 10 (e Strabone?) φησὶ δὲ καὶ ὁ Λ. ὁ ῥήτωρ . . . τίς οὐκ ἀκήκοεν, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη κτέ.

1 ἀναστάτους Rei.: -άστατον | ⟨ἀναγκαῖον⟩ καὶ τῶν κ. Rei. || 4 συνανῄρηται Bl.: -αιρεῖται || 6 τῆς ἀτυχίας Es, sed v. Isocr. 4, 5. 5, 141 | ὅταν. ἀν. (litt. δ? erasa) A^{pr} || 8 ἡμῶν (η in ras. A^{c}) || 10 pro ὑπὸ bis ἐπὶ A^{pr} | ⟨ὅτε⟩ καὶ ci. Rehd. scr. Bl.; sed cf. M. van der Valk, Researches on the text and scholia of the Iliad, 2, Leiden 1964, 367 | καὶ ὑπὸ Λακ. . . . καθῃρ. del. Es τὰ τείχη καθ. del. Cohn ⟨ὡς⟩ {καὶ} ὑπὸ ⟨τῶν⟩ Λακεδ. Pezop. cl. Xen. Hell. 2,3, 11 || 12 καὶ . . τῆς $A^{1.r}$ | ἡγεμονίας (Ald.) Es cl. Hyper. 6, 10, 7 s. J. προστῆναι τῆς ἡγεμονίας || 13 πώποτ . . . ἀνάστ. A^{pr} || 15—17 μεγίστην γεγενημένην . . . ἐπάρξασαν . . . ἀοίκητον οὖσαν Pezop. (sec. Strab.) || 17 ⟨ἅπαντα⟩ τὸν αἰ. Herw. || 18 Μεσσ. Melanchth.: Μεσ. || 20 τῶν συν. αὐτοῦ Tayl. τῶν συνηγορούντων αὐτῷ Herw.

ἄνθρωπον ἐγένετο τούτων· | καὶ οὐκ αἰσχύνονται τοιαύ- p. 156
την ἀπολογίαν ποιούμενοι πρὸς ὑμᾶς, ἐφ' ᾗ δικαίως
ἂν ἀποθάνοιεν. εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα
αὐτὸν ἐκλιπεῖν, τοῦτο συγχωρήσαντες ὑμᾶς ἐώντων
διαγνῶναι περὶ τοῦ μεγέθους· εἰ δ' ὅλως μηδὲν τού-
των πεποίηκεν, οὐ μανία δή που τοῦτο λέγειν, ὡς οὐδὲν
ἂν ἐγένετο παρὰ τοῦτον; ἡγοῦμαι δ' ἔγωγε ὦ ἄνδρες τοὐ- 64
ναντίον τούτοις, παρὰ τοῦτον εἶναι τῇ πόλει τὴν σωτηρίαν.
ἡ γὰρ πόλις οἰκεῖται κατὰ τὴν ἰδίαν ἑκάστου μοῖραν φυλατ-
τομένη· ὅταν οὖν ταύτην ἐφ' ἑνός τις παρίδῃ, λέληθεν
ἑαυτὸν ἐφ' ἁπάντων τοῦτο πεποιηκώς. καίτοι ῥᾴδιόν
ἐστιν ὦ ἄνδρες, πρὸς τὰς τῶν ἀρχαίων νομο-
θετῶν διανοίας ἀποβλέψαντας τὴν ἀλήθειαν εὑρεῖν. ἐκεῖ- 65
νοι γὰρ οὐ τῷ μὲν ἑκατὸν τάλαντα κλέψαντι θάνατον
ἔταξαν, τῷ δὲ δέκα δραχμὰς ἔλαττον ἐπιτίμιον· οὐδὲ τὸν
μὲν μεγάλα ἱεροσυλήσαντα ἀπέκτεινον, τὸν δὲ μικρὰ
ἐλάττονι τιμωρίᾳ ἐκόλαζον· οὐδὲ τὸν μὲν οἰκέτην ἀπο-
κτείναντα ἀργυρίῳ ἐζημίουν, τὸν δὲ ἐλεύθερον εἶργον τῶν
νομίμων· ἀλλ' ὁμοίως ἐπὶ πᾶσι καὶ τοῖς ἐλαχίστοις παρα-
νομήμασι θάνατον ὥρισαν εἶναι τὴν ζημίαν. οὐ γὰρ πρὸς 66
τὸ ἴδιον ἕκαστος αὐτῶν ἀπέβλεπε τοῦ γεγενημένου πράγμα-
τος, οὐδ' ἐντεῦθεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐλάμ-
βανον, ἀλλ' αὐτὸ ἐσκόπουν τοῦτο, εἰ πέφυκε τὸ ἀδί-
κημα τοῦτο ἐπὶ πλέον ἐλθὸν μέγα βλάπτειν τοὺς ἀνθρώ-
πους. καὶ γὰρ ἄτοπον ἄλλως πως περὶ τούτου ἐξετάζειν.
φέρε γὰρ ὦ ἄνδρες, εἴ τις ἕνα νόμον εἰς τὸ Μητρῷον ἐλθὼν

13 ss. cf. Plut. Sol. 17, 2; Gell. 11, 18, cf. Alciphron. 2, 38, 3

1 *ἐγ. τοιοῦτον* Herw. | *αἰσχυνοῦνται* Es || **4** *ἐώντων* Es: *ἐάτωσαν* || **6** *τὸ λέγειν* Es || **7** *ἐγένετο* Bk. cf. v. 2: *γένηται* libri *γένοιτο* Halm *γίγνοιτο* Bl. aut (om. *ἂν*) *γεγένηται* Bk. | *τοῦτον* Ald.: *τοῦτο* libri *παρ' ἕνα τοιοῦτον* Herw. || **8** *τοῦτον* Ald.: *τούτων* | *τὴν* om. A[ir] || **10** *παρίδῃ* Ald.: -*δοι* || **11** *ὑφ' ἁπ.* A[r] || **16** *ἀπέκτεινον* Cor.: -*ναν* || **17** *μὲν* om. A[pr] || **19** *νομίμων* Steph. cl. Antiph. 6, 36 (et Arist. *Ἀθ. πολ.* 57, 2): *νόμων* | *καὶ* om. A[pr] *καὶ* ⟨*τοῖς μεγίστοις καὶ*⟩ Dobr. || **21** *ἑκάστοτε ἐπ' αὐτῶν ἀπέβλεπον* ci. W. Barth rec. Bl. || **24** *τοῦτο* susp. Meier | *πλέον* Gebhardt, Adnot. crit. 14: *πλεῖον* libri edd.

ἐξαλείψειεν, εἶτ᾽ ἀπολογοῖτο ὡς οὐδὲν παρὰ τοῦτον τῇ
πόλει ἐστίν, ἆρ᾽ οὐκ ἂν ἀπεκτείνατ᾽ αὐτόν; ἐγὼ μὲν οἶμαι
67 *δικαίως, εἴπερ ἐμέλλετε καὶ τοὺς ἄλλους σῴζειν. τὸν αὐτὸν*
τοίνυν τρόπον κολαστέον ἐστὶν τοῦτον, εἰ μέλλετε τοὺς
ἄλλους πολίτας βελτίους ποιήσειν· καὶ οὐ τοῦτο λογιεῖσθε,
*εἰ εἷς ἐστι μόνος ὁ ἄνθρωπος, ἀλλ᾽ εἰς τὸ πρᾶγμα ⟨***⟩*
ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸ ⟨μὲν⟩ μὴ πολλοὺς τοιούτους γενέ-
σθαι ἡμέτερον εὐτύχημα εἶναι, τοῦτον μέντοι διὰ τοῦτο μεί-
ζονος τιμωρίας ἄξιον εἶναι τυχεῖν, ὅτι μόνος τῶν ἄλλων
πολιτῶν οὐ κοινήν, ἀλλ᾽ ἰδίαν τὴν σωτηρίαν ἐζήτησεν.
17
68 *Ἀγανακτῶ δὲ μάλιστα ὦ ἄνδρες, ἐπειδὰν ἀκούσω*
τῶν μετὰ τούτου τινὸς λέγοντος, ὡς οὐκ ἔστι τοῦτο προ-
διδόναι, εἴ τις ᾤχετο ἐκ τῆς πόλεως· καὶ γὰρ οἱ πρόγονοί
ποθ᾽ ὑμῶν τὴν πόλιν καταλιπόντες, ὅτε πρὸς Ξέρξην ἐπο-
λέμουν, εἰς Σαλαμῖνα διέβησαν. καὶ οὕτως ἐστὶν ἀνόητος
καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, ὥστε τὸ κάλλι-
69 *στον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν ἠξίωσε. ποῦ*
γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε;
τίς δ᾽ οὕτως ἢ φθονερός ἐστιν ἢ παντάπασιν ἀφιλότιμος,
ὃς οὐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν;
οὐ γὰρ τὴν πόλιν ἐξέλιπον, ἀλλὰ τὸν τόπον μετήλλαξαν,
70 *πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βουλευσάμενοι. Ἐτεό-*
νικος μὲν γὰρ ὁ Λακεδαιμόνιος καὶ Ἀδείμαντος ὁ Κορίν-
θιος καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν
αὑτοῖς ἔμελλον πορίζεσθαι· ἐγκαταλειπόμενοι δ᾽ οἱ πρό-
γονοι ὑπὸ πάντων τῶν Ἑλλήνων, βίᾳ καὶ τοὺς ἄλλους ἠλευ-
θέρωσαν, ἀναγκάσαντες ἐν Σαλαμῖνι μεθ᾽ αὑτῶν πρὸς

1–2 *ἐξήλειψεν . . . ἀπελογεῖτο . . . ἀπεκτείνατ᾽* Dobr. Es || **2** *ἀπ-εκτείνετ᾽?* Gebauer, Argum. ex contr. 386, qui conf. Lys. 10, 9 al. *ἀποκτείναιτ᾽* mavult Papathomopoulos || **2–3** *δικαίως* post *ἀπεκτ. αὐτὸν* Meier || **4** *κολαστε . . . . ἐστὶ* A^{pr} *κολ. ἐστὶ ⟨καὶ⟩ τ.* Cor. (Add. p. 98) || **6** *ὁ ἄνθρ.*] *ἄνθρ.* Bl. | e. g. *εἰς τὸ πρᾶγμα ⟨ἀποβλέψετε⟩* ci. Frohb. *ἀλλ᾽ εἰ τὸ πρᾶγμα* (sc. *ἓν ἐστι*) Tayl. Cor. *ἀλλ᾽ οἷον τὸ πρ.* Bk. *ἀλλ᾽ εἰ τὸ πρ. ⟨μέγα⟩* Dobr. *ἀλλὰ τί τὸ πρ.* Ri. *ἀλλὰ {εἰς} τὸ πρᾶγμα* Treves || **7** *⟨μὲν⟩* Bl. || **8** *διὰ τοῦτο* om. A^{pr} secl. Bl. || **14** *ὑμῶν* A^{pr}: *ἡμῶν* | *ὅτε . . ἐπολ.* del. Es || **15** *ἀνόητος*] *ἀπονενοημένος* ci. Dobr. || **16** *καὶ*] *ἢ* Bl. cl. v. 20 || **20** *ὅσ⟨τις⟩* Bl. || **23** *μὲν* om. A^{r} || **24** *αἰγινητικὸν* A^{pr} || **27** *μεθ᾽ αὑτῶν* Tayl.: *μετ᾽ αὐτῶν* | *πρὸς*] *εἰς* ut vid. A^{pr} corr. A^{2}

τοὺς βαρβάρους ναυμαχεῖν. μόνοι δ' ἀμφοτέρων περι-
γεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς
ἑκατέρων προσῆκε, τοὺς μὲν εὐεργετοῦντες, τοὺς δὲ
μαχόμενοι νικῶντες. ἆρά γ' ὅμοιοι τῷ φεύγοντι τὴν
πατρίδα τεττάρων ἡμερῶν πλοῦν εἰς Ῥόδον; ἢ που τα- 71
χέως ἂν ἠνέσχετό τις ἐκείνων τῶν ἀνδρῶν τοιοῦτον
ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν τὸν καταισχύνοντα τὴν
αὑτῶν ἀριστείαν. οὕτω γοῦν ἐφίλουν τὴν πατρίδα πάντες,
ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέξανδρον, φίλον
ὄντα αὐτοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ ᾔτησε, μικροῦ
δεῖν κατέλευσαν. ὅπου δὲ καὶ τοῦ λόγου τιμωρίαν ἠξίουν
λαμβάνειν, ἦ που τὸν ἔργῳ παραδόντα τὴν πόλιν
ὑποχείριον τοῖς πολεμίοις οὐ μεγάλαις ἂν ζημίαις ἐκό-
λασαν; | τοιγαροῦν τοιαύταις χρώμενοι γνώμαις, ἑβδομή- 72 p. 157
κοντα μὲν ἔτη τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν,
Φοινίκην δὲ καὶ Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ
καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες ἐνίκησαν, ἑκατὸν
δὲ τριήρεις τῶν βαρβάρων αἰχμαλώτους ἔλαβον, ἅπασαν
δὲ τὴν Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν. καὶ τὸ 73
κεφάλαιον τῆς νίκης, οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπή-
σαντες ἔστησαν, ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες
τοὺς εἰς τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, καὶ τούτους κωλύ-

1 ss. ex Isocr. 4, 72; cf. Plut. Them. 7, 4 *ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους* (sc. *τοὺς Ἀθην.*); Ael. Arist. panath. 1, 217 Ddf. || **9** cf. Hdt. 8, 140; Demosth. 6. 11; Ael. Arist. panath. 1, 233 Ddf. || **16 ss.** cf. Harpocr. s. v. *Εὐρυμέδων*; *πεζ. καὶ ναυμ.*: Isocr. 7, 75; [Lys.] 2, 47 al. || **21 s.** *ὅρους . . πήξαντες* cf. Tzetz. schol. ad Hermog. (= Cram. anecd. Oxon. 4, 57, 6) *ὅρους πεπῆχθαι*

3 *τῶν μὲν εὐεργ., τῶν δὲ μαχ.* {*νικῶντες*}? Dobr., cf. Rehd. || **4** *ὅμοιοι* Hauptmann: *ὅμοιον* libri *ὅμοιον τῷ φεύγειν* Herw. || **5** *εἰς Ῥόδον* del. Es || **8** *αὑτῶν ἀριστείαν* A² (apogr.): *αὐτῷ ἀρίστην*? Apr *αὑτῶν ἀρετὴν* ci. Bl. fort. recte || **12** *ἦ που τόν* ⟨*γ'*⟩ Es || **13** *οὐ* susp. Bk., v. Bl. in comm. cr. || **14** *ἑβδομ.* Tayl. cf. Isocr. 4, 106: *ἐνενήκ.* libri (*ἐνν.* A) || **15** *μὲν* Ac (. . *ν* Apr) || **21** *ἔστησαν* del. Meutzner alii (cf. Richards, CR 20, 1906, 298) || **22** *τοὺς εἰς . . . Ἑλλ.* del. Herw. *τοὺς εἰς τὴν ἐλ. τῆς Ἑλλ.* ⟨*συμφέροντας*⟩ sive ⟨*ἐπιτηδείους*⟩ Ri.

*σαντες ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο, μακρῷ μὲν
πλοίῳ μὴ πλεῖν ἐντὸς Κυανέων καὶ Φασήλιδος. τοὺς δ'
Ἕλληνας αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην,*
74 *ἀλλὰ καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας. καίτοι οἴεσθ'
ἄν, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον,
τούτων ἄν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι
τὴν χώραν κατοικεῖν ὑμᾶς; χρὴ τοίνυν ὦ ἄνδρες, ὥσπερ
τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς
μισεῖν τε καὶ κολάζειν, ἄλλως τε καὶ Λεωκράτην, ὃς οὔτε
ἔδεισεν οὔτε ᾐσχύνθη ὑμᾶς.*

18
75 *Καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων,
καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε. ἄξιον γὰρ
ὅμως καίπερ πρὸς εἰδότας διελθεῖν· ἐγκώμιον γὰρ νὴ
τὴν Ἀθηνᾶν εἰσι τῆς πόλεως οἱ παλαιοὶ νόμοι καὶ τὰ
ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων. οἷς ἂν προσ-
έχητε, τὰ δίκαια ποιήσετε, καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ*
76 *καὶ ἄξιοι τῆς πόλεως δόξετ' εἶναι. ὑμῖν γάρ ἐστιν ὅρκος,
ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχι-
κὸν γραμματεῖον ἐγγραφῶσιν καὶ ἔφηβοι γένωνται, μήτε
τὰ ἱερὰ ὅπλα καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν
δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν. ὃν εἰ μὲν ὀμώμοκε
Λεωκράτης, φανερῶς ἐπιώρκηκεν, καὶ οὐ μόνον ὑμᾶς
ἠδίκηκεν, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἠσέβηκεν· εἰ δὲ μὴ ὀμώμο-
κεν, εὐθὺς δῆλός ἐστι παρασκευασάμενος ⟨ὡς⟩ οὐδὲν
ποιήσων τῶν δεόντων, ἀνθ' ὧν δικαίως ἂν αὐτὸν καὶ
ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσαισθε. βούλομαι*
77 *δ' ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου. λέγε γραμματεῦ.*

2 cf. Ael. Arist. panath. 1, 249, *εἰς Ῥώμην* 1, 325 Ddf. – de rebus in §§ 73. 76–78. 80–82. 117 s. 122 s. v. C. Habicht, Falsche Urkunden zur Geschichte Athens im Zeitalter der Perserkriege, Hermes 89, 1961, 15 ss.; cf. etiam L. Moretti, Riv. di Fil. 38, 1960, 390–402

2 *Φασήλιδος* Victorius: *φάσιδος* || **9** *τε*[1] susp. Fuhr | *ἄλλους τε καὶ Λ.* Ri. || **11** *καίτοι* A^{c} (*καίτ* . . . A^{pr}) || **12** *γὰρ*] . . A^{pr} || **18** *ὀμνύουσι* A^{c} (*ου* scr. A^{1}) | *ἐπειδὰν* A^{pr} (*ἐπεὶ ὃν* A^{1}) || **20** *-σχυνεῖν . . . ἀμυνεῖν* Steph.: *-σχύνειν . . . ἀμύνειν* || **21** *καὶ ἀμείνω*] *καὶ μὴ μείω* Seeliger *καὶ μείζω* Ri. || **23** *ἠσέβηκεν* Ald.: *-σεν* || **24** *παρασκευασάμενος* A^{pr}: *παρεσκευασμένος* cett. (*παρα-* L) ⟨*ὡς*⟩ . . *ποιήσων* Es: *ποιήσειν* || **26** *τιμωρήσαισθε* Ducas: *-σεσθε* A^{pr} (*-σοισθε* A^{1}LZ)

⟨ΟΡΚΟΣ

Οὐκ αἰσχυνῶ τὰ ἱερὰ ὅπ|λα οὐδὲ λείψω τὸν παραστάτην ὅπου ἂν σ|τ⟨ο⟩ιχήσω· ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὁσ|ίων καὶ ο⟨ὐ⟩κ ἐλάττω παραδώσω τὴν πατρίδ|α, πλείω δὲ καὶ ἀρείω κατά τε ἐμαυτὸν κα|ὶ μετὰ ἁπάντων· καὶ εὐηκοήσω τῶν ἀεὶ κρ|αινόντων ἐμφρόνως καὶ τῶν θεσμῶν τῶν | ἱδρυμένων καὶ οὓς ἂν τὸ λοιπὸν ἱδρύσω|νται ἐμφρόνως· ἐὰν δέ τις ἀναιρεῖ, οὐκ ἐ|πιτρέψω κατά τε ἐμαυτὸν καὶ μετὰ πάντ|ων, καὶ τιμήσω ἱερὰ τὰ πάτρια. ἵστορες[ο]| *θεοὶ Ἄγλαυρος, Ἑστία, Ἐνυώ, Ἐνυάλιος Ἄ|ρης καὶ Ἀθηνᾶ Ἀρεία, Ζεύς, Θαλλώ, Αὐξώ, Ἡγε|μόνη, Ἡρακλῆς, ὅροι τῆς πατρίδος πυροί,|κριθαί, ἄμπελοι, ἐλάαι, συκαῖ.⟩*

1 iuris iurandi formula omissa in libris e titulo Acharn. s. IV a. Chr. n. (v. L. Robert, Étud. Épigr. et Philol., Paris 1938, 302–303; cf. etiam M. N. Tod, GHI, 2, 204; G. Daux, Studies present. to D. M. Robinson, 2, 1953, 777–778 et *Χαριστήριον εἰς Ἀ. Κ. Ὀρλάνδον*, 1, Athenis 1965, 80ss.; H. W. Parke, Hermathena 72, 1948, 106ss.; Conomis, *Ἀθηνᾶ* 62, 1958, 81ss. 63, 1959, 119ss.; Pélékides, Hist. de l'éphébie, 113: SEG 19, 1963, nr. 167) desumpta; exstat etiam apud Poll. 8, 105s.; Stob. Anthol. 4, 1, 48 Hense || **11**s. cf. Plut. Alcib. 15, 7

1 tit. om. in lac. **A**: *ὅρκος ἐφήβων πάτριος ὃν ὀμνύναι δεῖ τοὺς ἐφήβους* tit. Acharn. || **2** *οὐ καταισχυνῶ* ut vid. Lyc. Poll. Stob. | *ὅπλα τὰ ἱερὰ* Stob. *τὰ ὅπλα* Poll. | *λείψω*] *καταλείψω* (*ἐγκ.* **CL**) Poll. *ἐγκατ.* Stob. *λείψω ⟨τὴν τάξιν οὐδὲ⟩ τὸν*? Lyc. || **3** *ὅπου ἂν στ⟨ο⟩ιχήσω* (*στειχ.* lapis)] *ὅτῳ ἂν στοιχ.* Stob. *ᾧ ἂν στοιχῶ* Poll. || **3–4** *καὶ ὁσ.*] *καὶ ὑπὲρ ὁσ.* Stob. || **4** post *ὁσίων*: *καὶ μόνος καὶ μετὰ πολλῶν* add. Poll. Stob. | *καὶ ο⟨ὐ⟩κ ἐλ. παραδ. τὴν π.*] *καὶ τὴν π. οὐκ ἐλ. π.* Poll. *τὴν π. δὲ οὐκ ἐλ. π.* Stob. || **4–5** *πλείω δὲ καὶ ἀρείω*] *πλεύσω δὲ καὶ καταρόσω* Poll. || **5** post *ἀρείω*: *ὅσης* (*ὅσην* Stob. *ὁπόσην* Poll.) *ἂν παραδέξωμαι* add. Poll. Stob., sed om. *κατά τε ἐμ. καὶ μετὰ ἁπ.* || **6** *κραινόντων* tit. Acharn. et ci. Cobet: *κριν.* Poll. Stob. | *ἐμφρόνως* om. Poll. (Turr. Bl.) || **6–7** *καὶ τῶν θ. τῶν ἱ.*] *καὶ τοῖς θ. τοῖς ἱ. πείσομαι* Poll. Stob. || **7** *καὶ οὓς ἂν τὸ λ. ἱ. ἐ.*] *καὶ οὕστινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως* Stob. *καὶ οὕστινας ἄλλους ἱδρύσεται τὸ πλῆθος ἐμφρόνως* Poll. || **8** *καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς ἢ μὴ πείθηται* Poll. Stob. || **8–9** *οὐκ ἐ. . . . πάντων*] *οὐκ ἐ., ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων* Poll. Stob. || **9** *καὶ τὰ* (*τὰ* om. Stob.) *ἱ. τὰ π. τιμήσω* Poll. Stob. || **10** *θεοὶ τούτων* Stob. | testium nomina om. Stob. | *Ἄγραυλος* Poll. | *Ἐνυάλιος Ἄρης* cf. Stoll, s. v. Ares in Roscher, Lexikon der gr. u. röm. Myth. 1, 479; C. F. H. Bruchman, Epitheta deorum, Lipsiae 1893, 381 || **12** *συκαῖ* . . . Burtt

Καλός γ' ὦ ἄνδρες καὶ ὅσιος ὁ ὅρκος. παρὰ τοῦτον τοίνυν
ἅπαντα πεποίηκε Λεωκράτης. καίτοι πῶς ἂν ἄνθρωπος
γένοιτο ἀνοσιώτερος ἢ μᾶλλον προδότης τῆς πατρίδος;
τίνα δ' ἂν τρόπον ὅπλα καταισχύνειέ τις μᾶλλον, ἢ εἰ λαβεῖν
μὴ θέλοι καὶ τοὺς πολεμίους ἀμύνασθαι; πῶς δ' οὐ καὶ
τὸν παραστάτην καὶ τὴν τάξιν λέλοιπεν ὁ μηδὲ τάξαι τὸ
78 *σῶμα παρασχών; ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν*
ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι δ' ἂν τὴν πατρίδα παρ-
έδωκε μείζονα προδοσίᾳ; τὸ γὰρ τούτου μέρος ἐκλελειμ-
μένη τοῖς πολεμίοις ὑποχείριός ἐστιν. εἶτα τοῦτον οὐκ
ἀποκτενεῖτε τὸν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα;
τίνας οὖν τιμωρήσεσθε; τοὺς ἕν τι τούτων ἡμαρτηκό-
τας; ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ
φανεῖσθε ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι.
19
79 *Καὶ μὴν ὦ ἄνδρες καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι*
τὸ συνέχον τὴν δημοκρατίαν ὅρκος ἐστί. τρία γάρ ἐστιν
ἐξ ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων, ὁ δικαστής, ὁ
ἰδιώτης. τούτων τοίνυν ἕκαστος ταύτην πίστιν δίδωσιν,
εἰκότως· τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατή-
σαντες καὶ διαλαθόντες οὐ μόνον τῶν παρόντων κινδύνων
ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῷοι τῶν ἀδι-
κημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορκήσας
τις λάθοι, οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν, ἀλλ'
εἰ μὴ αὐτός, οἱ παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπι-
80 *ορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει. διόπερ ὦ*
ἄνδρες δικασταὶ ταύτην πίστιν ἔδοσαν αὐτοῖς ἐν Πλαταιαῖς
πάντες οἱ Ἕλληνες, ὅτ' ἔμελλον παραταξάμενοι μάχεσθαι
πρὸς τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες, ἀλλὰ

4 *τίνα δ' ἂν*] *τίνα γὰρ ἄν?* Thalh. | ⟨*τὰ*⟩ *ὅπλα* Es || **5** *θέλοι* Ald.: *θέλῃ* $A^{l.r}$ *θέλει* A^{1} *'θέλει* Turr. | *πολεμίους*] *π . . . . . . ς* A^{pr} || **7** *ἂν* del. Bursian || **8** *ἂν*] *αὖ* Bursian | *παρέδωκε μείζονα* Wesseling: *προύδωκε μείζονι* libri, nisi legend. *τίς δ' ἂν τὴν π. προύδωκε μείζονι πρ.;* || **9** *προδοσίᾳ* del. Voigtländer Baiter, def. Gebauer, Argum. ex contr. 43–44, qui *τίς δ' ἂν τ. π. παρέδ. μείζονα πρ.;* || **10** *οὐκ* om. $A^{l.r}$ || **18** *τὴν* ante *πίστιν* add. A^{13}, sed cf. v. 26 et Lys. 18, 19. 25, 13 || **23** *ἀπ'*] *ἁ* a corr. A || **24** *τὸ τοῦ ἐπιορκ.* secl. Bl. 'ad sententiam plane supervacanea' || **26** *Πλαταιᾶσι* Herw.

μιμησάμενοι τὸν παρ' ὑμῖν εἰθισμένον ὅρκον. ὃν ἄξιόν ἐστιν ἀκοῦσαι· καὶ γὰρ παλαιῶν ὄντων τῶν τότε πεπραγμένων ὅμως ἴχνος ἔστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τῆς ἐκείνων | ἀρετῆς. καί μοι ἀναγίγνωσκε αὐτόν. p. 158

⟨ΟΡΚΟΣ.⟩ Οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, 81
οὐδ' ἐγκαταλείψω τοὺς ἡγεμόνας οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων ἅπαντας θάψω. καὶ κρατήσας τῷ πολέμῳ τοὺς βαρβάρους, τῶν μὲν μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τὰ τοῦ βαρβάρου προελομένας ἁπάσας δεκατεύσω. καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντων καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω παντάπασιν, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

Οὕτω τοίνυν ὦ ἄνδρες σφόδρα ἐνέμειναν ἐν τούτῳ πάν- 82
τες, ὥστε καὶ τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν ἔσχον βοηθόν, καὶ πάντων ⟨τῶν⟩ Ἑλλήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον, μάλιστα ἡ πόλις ὑμῶν εὐδοκίμησεν. ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προ-

5 formula sacramenti exstat etiam apud Diod. 11, 29, 3, cf. 11, 3, 3, Polyb. 9, 39, in tit. Acharn. uberius; v. L. Robert, Étud. Épigr. et Philol. 307 ss. et cf. Conomis, *ΠΑΑ* 33, 1958, 111–127; A. E. Raubitschek, TAPhA 91, 1960, 178–183; G. Daux, *Χαριστήριον εἰς Ἀ. Κ. Ὀρλάνδον,* 1, Athenis 1965, 84 ss.; A. E. Raubitschek, Die Inschrift als geschichtliches Denkmal, Gymnasium 72, 1965, 516 ss., id. EEAth 16, 1965, 166, 163 – 166, etc.

1 *ὃν*] *ἣν* sc. *πίστιν* scr. Bl. ‖ **2** *καί⟨περ⟩ γὰρ* Herw. ‖ **3–4** *ἴχνος . . τῆς . . ἀρετῆς* M. Haupt (cf. Isocr. 10, 37 *ἴχνος πραότητος*; Arist. *Ἀθ. πολ.* 18, 4 *ἴχνος τῆς πράξεως*; Plut. mor. 439 f *ἴχνος ἀρετῆς,* v. Lyc. c. Leocr. 28, 1 *ἀδικίας ἴχνος,* etc.): *ἰσχνῶς . . τὴν . . ἀρετὴν* libri, sed *τη.* et *ἀρετη.* A^{pr} corr. A^2? *ἱκανῶς* Cor. *συχνῶς* Sch. *ὡς ἴχνος* Rehd. *ἀτεχνῶς . . . τὴν ἐκ. ἀρετὴν* Kontos, del. cens. Polle ‖ **5** tit. om. **A** | *πλέονος* tit. Acharn. | *ζῆν*] . . *ην* A^{pr} | *τῆς ἐλευθερίας*] *ἢ τὸ ἐλεύθερος εἶναι* tit. Acharn. ‖ **6** *οὐδ' ἐγκαταλείψω* Saup.: *οὐδὲ καταλ.* **A** | *καὶ οὐκ ἀπολείψω* tit. Acharn. ‖ **7** *πάντας* Diod. ‖ **8** *καὶ νικήσας μαχόμενος τοὺς β.* tit. Acharn. | *τῶν βαρβάρων* Diod. ‖ **9–10** *οὐδεμίαν τῶν ἀγωνισαμένων πόλεων ἀνάστ. π.* Diod., *οὐκ ἀναστήσω . . . πόλεων τῶν συμμαχεσαμένων οὐδεμίαν* tit. Acharn. ‖ **10** *τὰς δὲ . . . δεκατ.* om. Diod., cf. tamen eund. 11, 3, 3 | *τὰ* om. A^{pr} ‖ **11** *ὑπὸ τῶν β.* om. Diod. ‖ **12** *οἰκοδ.* et om. *παντάπ.* Diod. ‖ **13** *ἐάσω καὶ καταλείψω* Diod. ‖ **14** *ἐν* del. Herw. Bl., sed v. Rehd. ed. Lyc. p. 149 et Gebhardt, Adnot. crit. 34–35 ‖ **15–16** aut *μεθ' ἑαυτῶν* aut *βοηθὸν* del. Tayl. ‖ **16** *τῶν* add. Turr.

γόνους ὑμῶν ἀποθνῄσκειν τολμᾶν ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺς καταισχύναντας αὐτήν, ἀλλὰ περιορᾶν τὴν κοινὴν καὶ μετὰ πολλῶν πόνων συνειλεγμένην εὔκλειαν ταύτην διὰ τὴν τῶν τοιούτων ἀνδρῶν
20 *πονηρίαν καταλυομένην.*

83 *Καίτοι ὦ ἄνδρες μόνοις ὑμῖν τῶν Ἑλλήνων οὐκ ἔστιν οὐδὲν τούτων περιιδεῖν. βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγμασι χρώμενοι καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων βέλτιον βουλεύσεσθε. τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις ὑμῶν ἀγαθόν, ὅτι τῶν καλῶν ἔργων παράδειγμα τοῖς Ἕλλησι γέγονεν· ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστιν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν*
84 *ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχασιν. ἐπὶ Κόδρου γὰρ βασιλεύοντος Πελοποννησίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν αὐτῶν ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν ἡμῶν, καὶ ἡμῶν τοὺς προγόνους ἐξαναστήσαντας κατανείμασθαι τὴν χώραν. καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες τὸν θεὸν ἐπηρώτων, εἰ λήψονται τὰς Ἀθήνας· ἀνελόντος δ' αὐτοῖς τοῦ θεοῦ, ὅτι τὴν πόλιν αἱρήσουσιν ἐὰν μὴ τὸν βασιλέα τὸν Ἀθηναίων {Κόδρον} ἀποκτείνωσιν, ἐστρά-*
85 *τευον ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντις δὲ τῶν Δελφῶν τις, πυθόμενος τὸ χρηστήριον, δι' ἀπορρήτων ἐξήγγειλε τοῖς Ἀθηναίοις. οὕτως οἱ πρόγονοι ἡμῶν ὡς ἔοικε καὶ τοὺς*

13 ss. Suda s. v. *εὐγενέστερος Κόδρου*, ubi pauca ex hac narratione ad verbum redduntur || **17 ss.** cf. Parke-Wormell, Delphic Oracle 2, 89 nr. 215 || **23 ss.** de structura iterationeque vv. *οἱ πρό-*

1 *ἡμῶν* apogr. || **2** *μηδὲ κολ.* Herw. cl. Demosth. 26, 23 | *καταισχύνοντας* ci. Cor. cl. p. 51, 3. 57, 8 || **7** *β. δ' ἔ⟨τι⟩ μικρὰ* Herw. et *⟨περὶ⟩ τῶν παλαιῶν* (mascul.) id. || **10** *ἡμῶν* **LPMZ** Sch. | *ἀγαθὸν* (*ον* a corr. in ras. 3 litt.) **A** || **12** *ἡμῶν* secl. Bl. || **13** *ἐπὶ* om. Suda || **15** *αὐτῶν*] *πᾶσαν* Suda | *πόλιν ὑμῶν* **A (B)** | *ἡμῶν* fort. del. || **16** *προγόν* a corr. ut vid. **A**[1] || **18** *λήψ.* Suda et ci. Heinr. Dobr.: *ἐπιλήψ.* libri, *ἐπι⟨όντες⟩ λήψ.* Cohn || **19** *δ' αὐτοῖς τοῦ θεοῦ* Suda, cf. p. 67, 20: *δὲ τ. θ. α.* | *ὅτι*] *διότι* Suda, rec. Bl., sed cf. Gebhardt, Adnot. crit. 5–6 | *οὐχ αἱρ. ἐὰν τὸν* Suda | *ἐὰν*] *ἄν* Bl. || **20** *τὸν Ἀθ.* **MZ**, Sudae **A**: *τῶν Ἀθ.* | *Κόδρον* ut gl. secl. Osann || **22** *ἐξήγγειλε* ci. Bk.: *-ελλε* **A (B)** *-ελε(ν)* cett. || **23** *οἱ πρόγ. ἡμῶν* secl. Bl.

ἔξωθεν ἀνθρώπους εὔνους ἔχοντες διετέλουν. ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικήν, τί ποιοῦσιν οἱ πρόγονοι ὑμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν ὥσπερ Λεωκράτης ᾤχοντο, οὐδ' ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν, ἀλλ' ὀλίγοι ὄντες κατακλεισθέντες ἐπολιορκοῦντο καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα. καὶ οὕτως ἦσαν {ὦ} ἄνδρες γενναῖοι 86 *οἱ τότε βασιλεύοντες, ὥστε προῃροῦντο ἀποθνῄσκειν ὑπὲρ τῆς τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι τινὰ χώραν. φασὶν γοῦν τὸν Κόδρον παραγγείλαντα τοῖς Ἀθηναίοις προσέχειν ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν στολὴν ὅπως ἂν ἀπατήσῃ τοὺς πολεμίους, κατὰ τὰς πύλας ὑπεκδύντα φρύγανα συλλέγειν πρὸ τῆς πόλεως, προσελθόντων δ' αὐτῷ δυοῖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου καὶ τὰ κατὰ τὴν πόλιν πυνθανομένων, τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι τῷ δρεπάνῳ παίσαντα· τὸν δὲ περιλελειμμένον, παροξυνθέντα* 87

γονοι ἡμῶν cf. e. g. IG I^2 39, 21 ss.; cum *ἐπολιορκοῦντο καὶ διεκαρτέρουν* cf. p. 34, 17 *διαφυλάττει καὶ διασῴζει*, p. 90, 4 *διαφυλάττειν καὶ σῴζειν*, p. 65, 3 *τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου*, p. 86, 21 *ἐν ὀφθαλμοῖς ὄντες καὶ ὁρώμενοι*

4 *τὴν θρεψαμένην*] cf. Choricii or. 20, 40 (ed. Foerster p. 237, 71). 32, 14 (p. 348, 1). 35, 2 (p. 386, 2). 40, 45 (p. 489, 19)

1 *ἐμβαλλόντων* **A**[pr] ‖ **2–3** *οἱ πρόγ. ὑμῶν* secl. Herw. | *ὑμῶν*] *ἡμῶν* Steph. ‖ **4** *οὐδ'* **M**[pr]**Z**: *οὐκ* | *θρέψασαν* Hirschig, cf. Rehd. ad loc. et Plat. Symp. 212a, Leg. 929a ‖ **5** *ὀλίγοι* (*λ* a corr. **A**) ‖ **6** *κατακλησθ.* Es | *ἐπολιορκοῦντο καὶ* del. Es, v. etiam Petrie, ed. Lyc. p. 233 ‖ **7** *εἰς* om. **A**[pr] add. **A**[1s] | *ἦσαν . . . . . . ὦ* **A**[pr] i. e. inter *ἦσαν* et *ὦ* 6 litt. delev. corr., nihil tamen inseruit | *ὦ* del. put. Bl. cl. p. 72, 8 ‖ **10** *τινὰ χ.* Rei.: *τὴν χ.* libri *χώραν* Budaeus *γῆν* Schedlbauer del. aut *τὴν* aut *ἑτέραν* Cor. *ἑτέρας* Schoemann -*ως* Thalh., cf. Rehd. ad loc. ‖ **13** *τοὺς πολεμίους*] *τοῦ* (de Boor) . . . **A**[pr] (Bl.) | *ὑπεκδ.* Ernesti Schulz, (cf. *ὑπεξελθὼν* Polyaen. strat. 3, 7, 1 *ἐξελθὼν* Suda *ἐξῆλθεν* Poll. 10, 128): *ὑποδ.* libri fort. recte? cl. Demosth. 25, 28 *κᾆτα τὰς ὕλας ὑποδύντα* Petrie ‖ **15** *δυεῖν* A. Cuny, Le nombre duel en grec, Paris 1906, 440 | *τὰ κατὰ τὴν π.*] *τίς εἴη* Suda ‖ **17** *παίσαντα* Bl. cl. *πλήξαντα* Suda; (et. *πατάξας* ap. schol. Plat. Symp. 208d (Pezop.) et possis conf. *παίσας* Pherec. ap. Poll. 10, 128 *πλήξας* Sostr. ap. Stob. Anthol. 3, 7, 87 = Plut. mor. 310a): *προσπεσόντα* (*πεσόντα* **A**[pr] *προσ* a corr.[2s])

*{τῷ Κόδρῳ} καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον
τὸ ξίφος ἀποκτεῖναι τὸν Κόδρον. τούτων δὲ γενομένων
οἱ μὲν Ἀθηναῖοι κήρυκα πέμψαντες ἠξίουν δοῦναι τὸν
βασιλέα θάψαι, λέγοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν·
οἱ δὲ Πελοποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δ'
ὡς οὐκέτι δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν ἀπεχώ-
ρησαν. τῷ δὲ Κλεομάντει τῷ Δελφῷ ἡ πόλις αὐτῷ τε καὶ*
88 *ἐκγόνοις ἐν πρυτανείῳ ἀίδιον σίτησιν ἔδοσαν. ἆρά γ' ὁμοίως*
p. 159 *ἐφίλουν | τὴν πατρίδα Λεωκράτει οἱ τότε βασιλεύοντες,
οἵ γε προῃροῦντο τοὺς πολεμίους ἐξαπατῶντες ἀποθνή-
σκειν ὑπὲρ αὐτῆς καὶ τὴν ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς
σωτηρίας ἀντικαταλλάττεσθαι; τοιγαροῦν μονώτατοι ἐπ-
ώνυμοι τῆς χώρας εἰσίν, ἰσοθέων τιμῶν τετυχηκότες,
εἰκότως· ὑπὲρ ἧς γὰρ οὕτω σφόδρα ἐσπούδαζον, δι-*
89 *καίως ταύτης καὶ τεθνεῶτες ἐκληρονόμουν. ἀλλὰ Λεω-
κράτης οὔτε ζῶν οὔτε τεθνεὼς δικαίως ἂν αὐτῆς μετά-
σχοι, μονώτατος ⟨δ'⟩ ἂν προσηκόντως ἐξορισθείη τῆς
χώρας, ἣν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο· οὐδὲ γὰρ
καλὸν τὴν αὐτὴν καλύπτειν τοὺς τῇ ἀρετῇ διαφέροντας
καὶ τὸν κάκιστον πάντων ἀνθρώπων.*

21
90 *Καίτοι γ' ἐπεχείρησεν εἰπεῖν, ὃ καὶ νῦν ἴσως ἐρεῖ πρὸς
ὑμᾶς, ὡς οὐκ ἄν ποτε ὑπέμεινε τὸν ἀγῶνα τοῦτον συνειδὼς
ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ· ὥσπερ οὐ πάντας καὶ
τοὺς κλέπτοντας καὶ ἱεροσυλοῦντας τούτῳ τῷ τεκμηρίῳ
χρωμένους. οὐ γὰρ τοῦ πράγματός ἐστι σημεῖον, ὡς οὐ
πεποιήκασιν, ἀλλὰ τῆς ἀναιδείας ἣν ἔχουσιν. οὐ γὰρ τοῦτο
δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν, οὐδὲ τὴν πόλιν ἐγκατ-*
91 *έλιπεν, οὐδ' ἐν Μεγάροις κατῴκησε· ταῦτά ἐστι τεκμή-*

12 s. schol. ad Aristoph. Plut. 182 *Λ. κ. Λεωκρ. . τοιγαροῦν . . . εἰσί*

1 *τῷ Κόδρῳ* secl. Bl., v. comm. cr. || **5** *γνόντες* A^{c} . . *νόντες* A^{pr} || **8** *ἆρά γε* ci. Cor.: *ὁρᾶτε* libri *ὁρᾶτε εἰ* Ald. || **14** *γὰρ ⟨ζῶν-τες⟩ οὕτω* Lobeck *ἐσπούδ. ⟨ζῶντες⟩* Halm || **15** *ταύτης* Es: *-ην* | *καὶ* ante *ταύτην* A^{pr} (punctis del.), *καὶ* post *ταύτην* add. A^{18} || **17** *δ'* add. Ald. || **18** *αὐτὴν ⟨γῆν⟩* Es | *τούς ⟨τε⟩ τῇ ἀρετῇ* Cor. || **22** *ὑπέμεινε* Schaub: *ὑπομεῖναι* libri *ὑπομεῖναι τὸν ἀ. τ. ⟨ἐτόλμησε⟩* Cima || **23** *-μέν . ν* A^{pr} || **28** *μετῴκησεν* ci. Bk., sed cf. p. 52, 15

ρια τοῦ πράγματος, ἐπεὶ τό γ' ἐλθεῖν τοῦτον, οἶμαι θεῶν τινα αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν, ἵν' ἐπειδὴ τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου τύχοι, καὶ οὓς προὔδωκε, τούτοις ὑποχείριον αὐτὸν καταστήσειεν. ἑτέρωθι μὲν γὰρ ἀτυχῶν οὔπω δῆλος, εἰ διὰ ταῦτα δίκην δίδωσιν· ἐνταῦθα δὲ παρ' οἷς προὔδωκεν φανερός ἐστιν, ὅτι τῶν αὑτοῦ παρανομημάτων ὑπέχει ταύτην τὴν τιμωρίαν. οἱ γὰρ θεοὶ οὐδὲν πρότερον ποιοῦσιν, ἢ τῶν πονη- **92**
ρῶν ἀνθρώπων τὴν διάνοιαν παράγουσι· καί μοι δοκοῦσιν τῶν ἀρχαίων τινὲς ποιητῶν ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγιγνομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν·

> *ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,*
> *τοῦτ' αὐτὸ πρῶτον, ἐξαφαιρεῖται φρενῶν*
> *τὸν νοῦν τὸν ἐσθλόν, εἰς δὲ τὴν χείρω τρέπει*
> *γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.*

τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων ἢ τῶν νεωτέρων **22** **93**
οὐκ ἀκήκοε Καλλίστρατον, οὗ θάνατον ἡ πόλις κατέγνω, τοῦτον φυγόντα, καὶ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἀκούσαντα, ὅτι ἂν ἔλθῃ Ἀθήναζε τεύξεται τῶν νόμων, ἀφικόμενον καὶ ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν καταφυγόντα, καὶ οὐδὲν ἧττον ὑπὸ τῆς πόλεως ἀποθανόντα; δικαίως· τὸ γὰρ τῶν

8 ss. cf. A. Körte, Hermes 68, 1933, 262; E. R. Dodds, The Greeks and the Irrational, Berkeley 1951, 39 ss. || **12 ss.** v. TGF, adesp. 296 N^2; cf. F. W. Householder, CW 29, 1936, 165–167 || **17** *Καλλ.* v. Kirchner, P. A. 8157; Swoboda, RE X 2, 1919, 1730–1735; P. Cloché, La politique de l'Athénien Callistratos, REA 25, 1932, 5–32; R. Sealey, Callistratos of Aphidna and his contemporaries, Historia 5, 1956, 197 n. 145 || **18 s.** cf. Parke-Wormell, Delphic Oracle 2, 104–105 nr. 259

1 *ἐπεὶ τό γ'* ci. Cor.: *ἐπεί γε τὸ* | *θεὸν* A (B), sed cf. Isocr. 4, 84 || **2** *τὴν* secl. Bk. || **4** *καὶ οὓς προ* a corr. A || **5** *δῆλος* (Es) Frohb.: *δῆλον* || **6** *δὲ παρ'* A^1 ut vid. in ras. 2 litt. | *φανερός* Bl.: *-όν* || **7** *αὑτοῦ* edd.: (*αυτου* libri) *αὐτοῦ* [adv.] Bl. | *παρανομημάτων*: *μα* a corr. A | *ταύτην* secl. Bl. || **8** *ποιοῦσιν* secl. Bk. || **11** *ἐπιγιγν.* Bk.: *ἐπιγεν.* | *τὰ* om. A^{pr} || **13** *ἐξαφαιρ.* Ald.: *ἐξαιρ.* || **16** *ἢ* ⟨*τίς*⟩ *τῶν* Es || **19** et p. 66, 1 'Taylori *νομίμων* pro *νόμων* recte refutaverunt locis Demosth. 44, 3. 28' Bl. || **20** *β.* ⟨*τὸν*⟩ *τῶν* mal. Bk., v. Gebhardt, Adnot. crit. 28 | *καὶ* del. Dobr.

νόμων τοῖς ἠδικηκόσι τυχεῖν τιμωρίας ἐστίν. ὁ δέ γε θεὸς
ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δει-
νὸν γὰρ ἂν εἴη, εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς
κακούργοις φαίνοιτο.

94 *Ἡγοῦμαι δ' ἔγωγ' ὦ ἄνδρες τὴν τῶν θεῶν ἐπιμέλειαν*
πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα
δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας καὶ τὴν
πρὸς αὐτοὺς εὐσέβειαν, εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρ-
χὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν,
εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν, ἀλλὰ {ὅτι} μὴ εὐεργετοῦντας
τὸν αὑτῶν βίον καταναλῶσαι μέγιστον ἀσέβημά ἐστι.
28
95 *λέγεται γοῦν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν,*
ἀλλ' ἁρμόσει καὶ νῦν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) ἐκ
τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι· τοῦτον δὲ ῥεῖν φασιν
ἐπί ⟨τε⟩ τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν
ἐκεῖ κατοικουμένων. τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι πρὸς
φυγήν, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα τῶν
νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ οὐχὶ
δυνάμενον ἀποχωρεῖν, ἀλλὰ ἐγκαταλαμβανόμενον, ἀρά-
96 *μενον φέρειν. φορτίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς*
ἐγκατελήφθη. ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι
τοῖς ἀνδράσιν τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. λέγεται γὰρ
p.160 *κύκλῳ | τὸν τόπον ἐκεῖνον περιρρυῆναι τὸ πῦρ καὶ σωθῆ-*

13–14 *ἐκ τῆς Αἴτνης κτέ.*] cf. Conon. apud Phot. bibl. 139b 23ss. Bk.; Paus. 10, 28, 4; Strab. 6, 2, 3 al.; v. etiam Rehd., ed. Lyc. p. 166; Fr. Wilhelm, Zur Legende von den frommen Brüdern von Catina, Philologus 80, 1924, 106–109 ‖ **23s.** cf. Marm. Par. (= FGrHist 239 A 52) a. 479/8 ... *καὶ τὸ πῦρ ἐρύη ἐ[ν]|Σικελίᾳ περὶ τὴν Αἴτνην* ...

1 *τιμωρίας* Bursian: *-ία* libri, ⟨*τυχεῖν*⟩ *τοῖς ἠδ. τυχεῖν τιμωρίας ἐστίν* Ri. ‖ **2** *παρέδωκε* Es ‖ **3** *ἂν* om. A^{pr} | *ταὐτὰ σωτήρια* Jernstedt *σημαίνοι* pro *σημεῖα* et del. *φαίν.* Nicolai *ταὐτὰ* ⟨*ταὐτοῦ*⟩ *σ.* Ri. ‖ **4** *φαίνοιτο* Heinr. *-νοιντο* Steph.: *φαίνονται* libri *φαίνοιτ' ὄντα* Rehd. ‖ **6** *πᾶσαν* **A** ‖ **7** *καὶ τοὺς τετελ. καὶ τὴν πρὸς ἑαυτοὺς* del. Hirschig ‖ **10** *ἀλλὰ* Bk.: *ἀλλ' ὅτι* libri *ἀλλὰ τὸ* amicus Maetzneri ‖ **12** *γοῦν* ci. Maetzner, cf. p. 57, 9. 63, 10. 72, 1 al.: *οὖν* ‖ **13** *καὶ νῦν* Frohb. sec. Isocr. 4, 28: *καὶ ὑμῖν* ‖ **15** *τε* add. ci. Baiter *τήν* ⟨*τ'*⟩ Pinzger ‖ **16** *οὖν* om. A^{pr} ‖ **18** *καὶ* secl. Es ‖ **23** *περιρρυῆναι* Es: *-ρεῦσαι* | *τὸ* om. A^{pr}

*ναι τούτους μόνους, ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν
προσαγορεύεσθαι τῶν εὐσεβῶν χῶρον· τοὺς δὲ ταχεῖαν τὴν
ἀποχώρησιν ποιησαμένους καὶ τοὺς ἑαυτῶν γονέας ἐγ-
καταλιπόντας ἅπαντας ἀπολέσθαι. ὥστε καὶ ὑμᾶς δεῖν τὴν* 97
*παρὰ ⟨τῶν⟩ θεῶν ἔχοντας μαρτυρίαν ὁμογνωμόνως τοῦτον
κολάζειν, τὸν ἅπασι τοῖς μεγίστοις ἀδικήμασιν ἔνοχον
ὄντα κατὰ τὸ ἑαυτοῦ μέρος. τοὺς μὲν γὰρ θεοὺς τὰς πα-
τρίους τιμὰς ἀπεστέρησε, τοὺς δὲ γονέας τοῖς πολεμίοις
ἐγκατέλιπε, τοὺς δὲ τετελευτηκότας τῶν νομίμων οὐκ
εἴασε τυχεῖν.*

Καίτοι σκέψασθε ὦ ἄνδρες· οὐ γὰρ ἀποστήσομαι τῶν **24** 98
*παλαιῶν· ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες ἐφιλοτιμοῦντο,
ταῦτα δικαίως ἂν ὑμεῖς ἀκούσαντες ἀποδέχοισθε. φασὶ
γὰρ Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν
ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα, τυχεῖν δὲ κατ'
ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχον-
τα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. μεγάλου δὲ στρατο-* 99
*πέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς
Δελφοὺς ἰὼν ἠρώτα τὸν θεόν, τί ποιῶν ἂν νίκην λάβοι
παρὰ τῶν πολεμίων. χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν
θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τὼ στρατοπέδω,
κρατήσειν τῶν πολεμίων, ὁ δὲ τῷ θεῷ πιθόμενος τοῦτ'
ἔπραξε, καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε.
διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τ'* 100
*ἄλλ' ἦν ἀγαθὸς ποιητής, καὶ τοῦτον τὸν μῦθον προείλετο
ποιῆσαι, ἡγούμενος κάλλιστον ἂν γενέσθαι τοῖς πολίταις*

1 cf. Ctes. apud Phot. bibl. 46a 30 Bk. || **20**ss. cf. Parke-Wormell, Delphic Oracle 2, 82 nr. 195

1 *μόνον* A[pr] || **2** *προσαγορεύεσθαι* Rei.: *-ρεῦσαι* | *ἀσεβῶν* A] corr. Ald. (*εὐσεβεῖς* Paus. Strab. *δικαίων* Conon Ctes.) ⟨*τὸν*⟩ *τῶν εὐσ.*? Ri. || **3** *γονέας* Es: *γονεῖς* ut v. 8 || **3–4** *ἐγκαταλ. ἅπαντας* Pinzger: *ἅπ. ἐγκατ.* || **5** *τῶν* add. Saup. || **7** *τὰς π.* Rei.: *τοὺς π.* || **8** *ἀπεστέρησε* Bl.: *-κε* | *γονέας* ut v. 3 || **10** *εἴ . ασε* A[i.r] || **12** *ἐκεῖ-νοι.* A[pr] || **14** inde a *τὸν Ποσειδ.* rursus incipit N || **15** *-σβητήσοντα* Dobr. || **19** *ἰὼν* (*ἐὼν* P) poetici sermonis est, sed cf. etiam Plat. Apol. 19e *ἰών*; Demosth. 19, 261 *ἴῃ*: *ἐλθὼν* N || **21** *τὼ στρατοπέδω* Tayl.: *τῷ -ῳ* || **22** *ὁ δὲ* Ald. v. comm. cr. ed. Blassianae: *ὡς δὲ* quae susp. Cor., libri | *πιθόμ.* Es: *πειθόμ.* || **25** *ἦν* ci. Bk.: *ὢν*

παράδειγμα τὰς ἐκείνων πράξεις, πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας συνεθίζεσθαι ταῖς ψυχαῖς τὸ τὴν πατρίδα φιλεῖν. ἄξιον δ' ὦ ἄνδρες δικασταὶ καὶ τῶν ἰαμβείων ἀκοῦσαι, ἃ πεποίηκεν λέγουσαν τὴν μητέρα τῆς παιδός. ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.

ῬΗΣΙΣ ΕΥΡΙΠΙΔΟΥ

τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,
χρόνῳ δὲ δρῶσι, δυσγενέστερον⟨. . . .⟩
ἐγὼ δὲ δώσω παῖδα τὴν ἐμὴν κτανεῖν.
λογίζομαι δὲ πολλά· πρῶτα μὲν πόλιν
οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν·
ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις
πεσσῶν ὁμοίως διαφοραῖς ἐκτισμέναι
ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι.
ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκήσῃ πόλιν,
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,
λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ.
ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα.
πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, πολλοὶ δέ νιν

7ss. v. TGF Eur. fr. 360 N^2; vv. 7–10 (*ᾗ – εἰσαγ.*) et apud Plut. mor. 604d–e || **21–22** cf. Ennium fr. 135–136 $V.^3$

2 *συνεθίζεσθ . .* N^{pr} *ε* in ras. N^1 *αι* N^{23} | *συν. τὰς ψυχὰς τῷ τὴν π. φ.* Cor. *τὸ* del. Es || **4** *ὄψεσθαι* N || **7** tit. || **8** *εὐγενῶς*] *εὐθέως* Rhed. || **9** *μέν* om. A^{pr} || **10** *δυσγενέστεροι ⟨φύσιν⟩* G. Herm. *⟨δρῶσι⟩ δυσγενέστερον* Heinr. *δ. ⟨λέγω⟩* Mein. *⟨τοῦτο⟩ δ.* Genner, alii alia || **11** *τὴν ἐμὴν π.* libri, trp. Tayl. || **13** *οὐκ ἄν*] *οὐκ ἦν* Bothe | *οὐκ ἔστιν* Kaibel | *οὐκ ἂν δυναίμην* Prinz || **14** *ᾗπερ λεὼς μὲν* Bücheler || **16** *ὁμοίως* Plut. Ald.: *ὁμοίαις* | *διαφορηθεῖσαι βολαῖς* Plut. || **17** *ἄλλαι*] *κἄλλαι* Bl. | *εἰσαγώγιμοι* M^2Z: *-μαι* NA (apogr.) *ἀγώγιμοι* Plut. || **18** *πόλεος* Grotius: *-ως* | *οἰκήσῃ* Mein. *ᾤκησεν* iam Dobr.: *οἰκίζει* || **21** *ἕκατι* (*ἕκητι* Ald.) Matthiae: *ἕνεκα* || **22** *ῥυώμ.* Ald. *ἐκρυώμ.* Sch.: *ῥυόμ.* || **23** *τοὔνομ'*] *τοὐμὸν* ci. Saup. | *ἕν* Grotius Scal.: *ἐν* | *πολλοὶ* Musgrave: *πολλοῖς*

ναίουσι· τούτους πῶς διαφθεῖραί με χρή,
ἐξὸν πρὸ πάντων μίαν ὑπερδοῦναι θανεῖν;
εἴπερ γὰρ ἀριθμὸν οἶδα καὶ τοὐλάσσονος
τὸ μεῖζον, οὑνὸς οἶκος οὐ πλεῖον σθένει
πταίσας ἁπάσης πόλεος, οὐδ' ἴσον φέρει.
εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλειῶν στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,
οὐκ ἄν νιν ἐξέπεμπον εἰς μάχην δορός,
θάνατον προταρβοῦσ'. ἀλλ' ἔμοιγ' ἔστω τέκνα,
⟨ἃ⟩ καὶ μάχοιτο καὶ μετ' ἀνδράσιν πρέποι,
μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα.
τὰ μητέρων δὲ δάκρυ' ὅταν πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ
ζῆν παῖδας† εἵλοντο καὶ† παρῄνεσαν κακά.
καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα
τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην·
τῇ 'μῇ δὲ παιδὶ στέφανος εἷς μιᾷ μόνῃ
πόλεως θανούσῃ τῆσδ' ὕπερ δοθήσεται.
καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω
σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
τὴν οὐκ ἐμὴν πλὴν ⟨ἢ⟩ φύσει δώσω κόρην

1 *διαφθερεῖ* **A**[r.r] || **2** *προπάντων* Mein. edd. | *ὑπερδ.* libri: *ὕπερ δοῦναι* Matthiae (Maetzner) Mein. *ὑπὲρ δοῦναι* edd. || **4** *οὑνὸς* Emperius: *ἑνὸς* libri *οὑμὸς* Bk. ⟨*ὅ γ'*⟩ *ἑνὸς* Bl. *ἑνὸς* ⟨*δδ'*⟩ Genner | *πλέον* Ddf. | *στένει* Bl. || **5** *πόλεος* Grotius Scal.: *-ως* || **6** *θηλειῶν* Grotius: *-λέων* || **8** *ἄν νιν* Matthiae (*ἄν μιν* Ald.): *ἂν μὴν* | *δ' ὅρος* **N** || **9** de interpunctione v. comm. cr. ed. Blassianae et C. Rüger, BphW 52, 1932, 1517 | *ἔστω* G. Herm.: *ἐστὶ* libri: *εἴη* Ald. || **10** ⟨*ἃ*⟩ Ald. || **11** *σχήματ'* Grotius Scal.: *σχήματα δ'* || **12** *πέμποι* **A** || **15** *εἵλοντ' ἢ παρ.* Matthiae *εἷλον καὶ π.* Grotius Scal. *εἵλονθ' αἳ π.* G. Herm. *εἵλονθ' ᾧ π.* Baiter *εἵλονθ' ὥστ' ἄρ' ᾔνεσαν* Saup. *εἵλοντο παῖδας καὶ π.* (del. *ζῆν*) Heinr. Cor.; fort. *παρῄνεσαν ζῆν παῖδας ἑλόμεναι* (*ἑλόμ.* Rei.) *κακὰ* alia Bl. || **18** *τί μὴ δὲ* **N** || **18–19** *εἷς μιᾷ μόνῃ . . . θανούσῃ* Tyrwhitt Heinr.: *ἡ μία μόνη . . θανοῦσα* || **19** *ὑπερδοθήσεται* libri || **20** *ὁμοσπόρω* Bk.: *-ων* libri (*-ους* **L? PMZ** Ald.) || **21** *σώσει· τί* Melanchth.: *ὡς εἴ τι* || **22** *ἐμήν* ⟨*γε*⟩ Emperius *ἐμὴν* ⟨*δὴ*⟩ Nauck | *ἢ* add. Wagner *τῇ* Saup.

θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
οὐκοῦν ἅπαντα τοὖν γ' ἐμοὶ σωθήσεται,
ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν.
ἐκεῖνο δ' οὗ ⟨τὸ⟩ πλεῖστον ἐν κοινῷ μέρος
οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ,
προγόνων παλαιὰ θέσμι' ⟨ὅσ⟩τις ἐκβαλεῖ·
οὐδ' ἀντ' ἐλάας χρυσέας τε Γοργόνος
τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρῇξ ἀναστέψει λεὼς
στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.
χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν,
σῴζεσθε, {καὶ} νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ' ὅπως ὑμῖν {τήνδ'} ἐγὼ οὐ σώσω πόλιν.
ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε
οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

25
101 *Ταῦτα ὦ ἄνδρες τοὺς πατέρας ὑμῶν ἐπαίδευε. φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν, ταύτην ἐποίησε τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν, ἐνδεικνύμενος ὅτι εἴπερ αἱ γυναῖκες τοῦτο τολμήσουσι ποιεῖν, τούς γ' ἄνδρας ἀνυπέρβλητόν τινα δεῖ τὴν εὔνοιαν ὑπὲρ*

12–14 cf. Ennium fr. 137 V.[3] || **15–17** ad sent. cf. Eurip. Phoen. 1015–1018 || **18 s.** FTG adesp. fr. 411 N[2] *φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ* conf. Bl.

3 *ἅπαντα τοὖν* (*τοὐν* Rei.) *γ'* Heinr.: *ἅπαντας γοῦν τ'* libri *ἅπ. γοῦν* Bk. *ἅπανθ' ἃ τοὐπ'* Rehd. *ἅπαντα σύν γ'* Bl. || **4** *ἄρξουσιν* **MZ**: *ἄρξουσί τ'* **NA** apogr. *ἄρξουσί τ' ἄλλοις τήνδε γ' οὐ* Bl. *ἔρξουσί* (= *θύσουσι*) *γ' ἀλλὰ τήνδ' ἐγὼ* Pezop. || **5** *ἐκεῖνο δ' οὗ ⟨τὸ⟩* Ald.: *ἐκείνω δὲ οὐ* || **6** *ἄνερ* Valck. *ἀνὴρ* Bothe *ποτε* Austin || **7** *παλαι⟨ὰ⟩* Ald.: *πάλαι* | *θέσμι' ⟨ὅσ⟩τις* Rei.: *θέσμιά τις* | *ἐκβαλεῖ* Ald.: *ἐκβάλλει* || **8** *ἀντ' ἐλάας* Dobr.: *ἂν τελείας* || **10** *Θρῇξ* Ddf.: *Θρᾷξ* | *ἀναστέψει* (*-στέψαι* iam Barnes) Musgrave: *-στρέψει* || **10–11** *λεὼς στεφ.* edd.: *λεωστεφάνοισι* **NA(B)** *λεὼς στεφάνοισιν* cett., qui om. *Παλλάς* || **13** *σῴζεσθε, νικ.* Ald.: *σ. καὶ ν.* || **14** *ὑμῖν ἐγὼ* Saup.: *ὑμῖν τήνδ' ἐγὼ* libri *οὐ τήνδ' ἐγὼ* Ald. || **18** *ταῦτα*] *τοιαῦτα* Herw. | *ὑμῶν* **A(B)**: *ἡμῶν* cett. || **20** *μᾶλλον τὴν π.* **N** || **21** *ὅτι εἴπερ ⟨καὶ⟩ αἱ* Es

τῆς πατρίδος ἔχειν, καὶ μὴ φεύγειν αὐτὴν ἐγκαταλιπόντας,
μηδὲ καταισχύνειν πρὸς ἅπαντας τοὺς Ἕλληνας, ὥσπερ
Λεωκράτης.

Βούλομαι δ' ὑμῖν καὶ τῶν Ὁμήρου παρασχέσθαι ἐπῶν. 26 102
οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιη-
τήν, ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πεντετηρίδα τῶν
Παναθηναίων μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ
ἔπη, ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας, ὅτι τὰ κάλ-
λιστα τῶν ἔργων προῃροῦντο. εἰκότως· οἱ μὲν γὰρ νόμοι
διὰ τὴν συντομίαν οὐ διδάσκουσιν, ἀλλ' ἐπιτάττουσιν ἃ
δεῖ ποιεῖν, οἱ δὲ ποιηταὶ μιμούμενοι τὸν ἀνθρώπινον βίον,
τὰ κάλλιστα τῶν ἔργων | ἐκλεξάμενοι, μετὰ λόγου καὶ p. 162
ἀποδείξεως τοὺς ἀνθρώπους συμπείθουσιν. Ἕκτωρ γὰρ 103
τοῖς Τρωσὶ παρακελευόμενος ὑπὲρ τῆς πατρίδος τάδ'
εἴρηκεν·

ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶ διαμπερές. ὃς δέ κεν ὕμεων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω. οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ νήπια τέκνα,
καὶ κλῆρος καὶ οἶκος ἀκήρατος, εἴ κεν Ἀχαιοί
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

Τούτων τῶν ἐπῶν ἀκούοντες ὦ ἄνδρες οἱ πρόγονοι ὑμῶν, 27 104
καὶ τὰ τοιαῦτα τῶν ἔργων ζηλοῦντες, οὕτως ἔσχον πρὸς
ἀρετήν, ὥστ' οὐ μόνον ὑπὲρ τῆς αὑτῶν πατρίδος, ἀλλὰ
καὶ πάσης ⟨τῆς⟩ Ἑλλάδος ὡς κοινῆς ⟨πατρίδος⟩ ἤθελον

16ss. Hom. *O* 494ss.; cf. H. V. Apfel, TAPhA 69, 1938, 257–258

1 *καὶ μὴ* **N** cf. p. 40, 7. 9: *μηδὲ* **A** || **4** *τῶν Ὁμήρου . . . ἐπῶν* Rei. Cor.: *τὸν Ὅμηρον . . . ἐπαινῶν* libri *τῶν Ὁμ. . . . ἔτ' ἐπῶν* Pezop. || **5** *ὃν οὕτω γ' ὑπέλ.* Rehd. || **6** *πεντετηρίδα* Dobr.: *πενταετηρίδα* libri *καθ' ἑκ.* ⟨*τὴν*⟩ *π.* putat Bl. || **7** ⟨*τούτου*⟩ *μόνου* Herw. || **14** *ὑπὲρ* **N**[c] *ο* in *ερ* corr. **N**[2] || **16** *νηυσὶν ἀολλέες* Hom. || **19** extr. *καὶ παῖδες ὀπίσσω* Hom. || **20** *καὶ οἶκος καὶ κλ.* Hom. || **21** *ἥικωνται* **A** [r] *κ* in *χ* mut. corr. *ἥικχ-* **B** *ἧκ-* **LPMZ** quod acc. Osann || **22** *ὑμῶν* secl. Bl. propter hiat. cl. p. 75, 1 || **25** ⟨*ὑπὲρ*⟩ *πάσης* Herw. | *τῆς* add. Blume | *κοινῆς* ⟨*πατρίδος*⟩ Bl. cl. Isocr. 4, 81 ⟨*γῆς*⟩ mal. Pezop.

ἀποθνήσκειν. οἱ γοῦν ἐν Μαραθῶνι παραταξάμενοι τοῖς
βαρβάροις τὸν ἐξ ἁπάσης τῆς Ἀσίας στόλον ἐκράτησαν,
τοῖς ἰδίοις κινδύνοις κοινὴν ἄδειαν ἅπασι τοῖς Ἕλλησι κτώ-
μενοι, οὐκ ἐπὶ τῇ δόξῃ μέγα φρονοῦντες, ἀλλ' ἐπὶ τῷ ταύ-
της ἄξια πράττειν, τῶν μὲν Ἑλλήνων προστάτας, τῶν δὲ
βαρβάρων δεσπότας ἑαυτοὺς καθιστάντες· οὐ γὰρ λόγῳ
τὴν ἀρετὴν ἐπετήδευον, ἀλλ' ἔργῳ πᾶσιν ἐνεδείκνυντο.
28 105 τοιγαροῦν οὕτως ἦσαν ἄνδρες σπουδαῖοι καὶ κοινῇ καὶ ἰδίᾳ
οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις
Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι
πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεός, παρ' ἡμῶν ἡγεμόνα
λαβεῖν καὶ νικήσειν τοὺς ἐναντίους. καίτοι εἰ τοῖν ἀφ'
Ἡρακλέους γεγενημένοιν, οἳ ἀεὶ βασιλεύουσιν ἐν Σπάρτῃ,
τοὺς παρ' ἡμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς
106 οὐκ ἀνυπέρβλητον χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; τίς
γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων, ὅτι Τυρταῖον στρατηγὸν ἔλα-
βον παρὰ τῆς πόλεως, μεθ' οὗ καὶ τῶν πολεμίων ἐκράτη-
σαν, καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο οὐ
μόνον εἰς τὸν παρόντα κίνδυνον, ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα
βουλευσάμενοι καλῶς. κατέλιπεν γὰρ αὐτοῖς ἐλεγεῖα
107 ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν· καὶ
περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες, περὶ τού-
του οὕτω σφόδρα ἐσπουδάκασιν, ὥστε νόμον ἔθεντο, ὅταν
ἐν τοῖς ὅπλοις ἐξεστρατευμένοι ὦσι, καλεῖν ἐπὶ τὴν τοῦ

11 s. cf. Parke-Wormell, Delphic Oracle 2, 121 nr. 299 || **12** *τοῖν ἀφ' Ἡρ. γεγ.*] cf. Tyrt. 8 D. = 11 B., 1 *Ἡρακλῆος . . γένος ἐστέ*; v. F. Schachermeyr, RhM 81, 1932, 134–135 || **16 ss.** cf. Harpocr. s. v. *Τυρτ.* || **24 ss.** cf. Plut. Lyc. 21, 4 ss. 22, 5 *ἐξῆρχεν* (sc. *ὁ βασ.*) *ἐμβατηρίου παιᾶνος*; Cleom. 23 (2) 4–5 *Λεωνίδαν . . . λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέ-*

1 *ἐν* del. Es secl. Bl., sed v. Gebhardt, Adnot. crit. 35 ss. || **4** *τῇ* om. N || **7** *ἐνεδ.* (sive *ἀπεδ.*) Cohn: *ἀνεδ.* N *ἐπεδ.* A (apogr.) || **9** *τοῖς ἀνδρειότατα* Naber *τοῖς -άτοις ⟨γενομένοις⟩* sive *⟨οὖσι⟩* Ri. || **12** *λαβοῦσι νικήσειν* vel *λαβόντας* Es, cl. p. 67, 19 | *νικ. καὶ τοὺς ἐν.* N *καὶ* del. N[2] || **12–13** *τοῖν . . . γεγενημένοιν* Bursian: *τοῖς . . γεγενημένοις* libri *τῶν . . -μένων* Ald. || **14** *ἡμῶν* N(P)] *ὑμῶν* A (apogr.) cf. v. 11 || **22** *τούτου* libri, Z me teste (de genit. v. Gebhardt, Adnot. crit. 5): *τοῦτον* Scal. edd. || **24** *ἐξεστρατευμένοι* Es: *ἐκστρατευόμενοι* | *ὦσι* A. G. Becker: *εἰσί(ν)* libri *ἴωσι* Heinr.

βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαντας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνήσκειν. χρήσιμον δ' ἐστὶ καὶ τούτων ἀκοῦσαι τῶν ἐλεγείων, ἵν' ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ' ἐκείνοις.

τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθόν, περὶ ᾗ πατρίδι μαρνάμενον.
ἣν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρημοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει δὲ γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται οὐδ' αἰδὼς οὔτ' ὀπίσω γένεος,

ναι Τυρτ., εἰπεῖν· „ἀγαθὸς νέων ψυχὰς κακκανῆν." ἐμπιμπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ παρὰ τὰς μάχας ἠφείδουν ἑαυτῶν

6 ss. vv. 1–32 Tyrtaei elegia, duo carmina 1–14, 15–32 agnovit Heinrich, demonstravit Jacoby, Hermes 53, 1918, 12 ss. cf. etiam Blumenthal, RE V^A 2, 1948, 1951–1952; contra dixit Barigazzi, PP 6, 1951, 102–115, quem sequitur F. R. Adrados, Liricos Griegos 1, Barcelona 1956, 120, sed v. G. W. Bond, Gnomon 32, 1960, 739. textus apud Bergk, Lyr. Graeci[4] 2, 13; Diehl, Anth. Lyr. Gr.[3] 6. 7, p. 11

2 *πρὸ*] *ὑπέρ* Herw. ‖ **6** *τεθνα* . . . **A**^{pr} | *ἐνὶ* Francke: *ἐπὶ* ‖ **7** *ᾗ* **L?PMZ** vulg.: *τῇ ἑαυτοῦ* (gl. ut vid.) **NA(B)** ‖ **8** *ἣν* Francke: *τὴν* ‖ **9** *ἀνιαρώτατον* **NA(BL**^{pr}**)** ‖ **12** *μὲν* om. **NA**^{pr} | *ἐχθρὸς γάρ τ' ἀστοῖσι* Thiersch *ἐ. γὰρ τούτοισι* Scal. *ἔχθιστος γὰρ τοῖσι* Tayl. *ἀχθηρὸς γ. τοῖσι* Hoerschelmann ‖ **13** *χρημοσύνῃ* Bergk Herw. cl. Theogn. 389. 394. 560. 670: *χρησμ.* libri, ret. D[3]. cl. Hdt. 9, 33, 5 ‖ **14** *δὲ* Hartung: *τε* ‖ **15** *ἀτιμίη* **N** et ci. G. Herm.: *-ία* **A** (apogr.) *ἀθυμίη* Steph. (Scal.) ‖ **16** *εἰ δ'* Francke Passow: *εἰθ'* libri | *εἰ δέ τοι οὕτως ἀ. ἀ.* Wilamowitz | *ὤρη* libri ‖ **17** *οὐδ' . . οὔτ'* **MZ** Bk.: *οὔτ' . . οὔτ'* **NA** (apogr.) *οὐδ' . . οὐδ'* Wilamowitz (Textg. d. gr. Lyriker, Abh. Gött. Ges. N. F. IV, 3, 1900, 111 n. 3) | *γένεος* Ahrens: *τέλος* **NA(B)** *τελέθει* **MLZ** (*τελ* tantum **P**) vulg. *γίγν. οὔτ' αὐτοῦ οὔτ' ὀπ. γένεος?* Petrie *εἰσοπίσω τελέθει* vulg. (Bk. Turr.) *οὔτ' ὄπις οὔτ' ἔλεος* Bergk

θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
p. 163 | *ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,*
μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλησ' ἐν χερσὶν ἔχοντα
(αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶν
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

108 *Καλά γ' ὦ ἄνδρες καὶ χρήσιμα τοῖς βουλομένοις προσέχειν. οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν, εἰκότως· τὰ γὰρ κάλλιστα τῶν ἔργων ἀμφοτέροις*

23 s. *τῆς ἡγεμ. ἀμφισβ.*] cf. Choricii or. 10, 56 (ed. Foerster p. 143, 16) *τῆς μὲν ἡγεμονίας ἀμφισβητῆσαι κτέ.*, sed cf. etiam Isocr. 4, 166

1 *μαχόμεθα* **A(BLP)** | *καὶ* om. vid. **A**[pr] || **2** *θνήσκομεν* **NA(B)** | *ψυχέων* Ald.: *-άων* || **4** *αἰσχρῆς* Saup.: *αἰσχρᾶς* || **5** *μέγαν τε τίθεσθε* Herw. || **6** *μηδὲ*] *μήτε* **Z** *μὴ* **A**[pr] || **7** *γούνετ'* **N** || **8** *γεραιοὺς* **N(MZ)**: *γηρ.* || **9** *γὰρ δὴ*] *μὲν γὰρ* **AB** || **10** *πρόσθεν* **A(BP)** || **12** *κονίῃ* **N**[c] (*ο* in ras. scr.) || **13** *φίλησ'* Schneidew.: *φίλαις* || **14** *τά γ'*] *τά τ'* G. Herm. *τὰ δ'* Saup. *τάδ'* Turr. *γὰρ* Osann | *νεμεσήτ' ἐνιδεῖν* Rei. *νεμεσήτ' ἐσιδεῖν* Bergk *-ητὰ ἰδεῖν* Francke || **16** *ἐρατῆς* **MZ** et ci. Valck.: *ἀρετῆς* || **17** *μὲν* om. **A**[pr] | *θηητὸς* Rei.: *θνητοῖσιν* || **23** *τῆς* om. **A**[pr]

ἦν κατειργασμένα. οἱ μὲν γὰρ πρόγονοι τοὺς βαρβάρους ἐνίκησαν, οἳ πρῶτοι τῆς Ἀττικῆς ἐπέβησαν, καὶ καταφανῆ ἐποίησαν τὴν ἀνδρείαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην· Λακεδαιμόνιοι δ' ἐν Θερμοπύλαις παραταξάμενοι, ταῖς μὲν τύχαις οὐχ ὁμοίαις ἐχρήσαντο, τῇ δ' ἀνδρείᾳ πολὺ πάντων διήνεγκαν. τοιγαροῦν 109 ἐπὶ τοῖς ἠρίοις {τοῦ βίου} μαρτύρια ἔστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας, ἐκείνοις μέν·

ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα τοῖς κείνων πειθόμενοι νομίμοις,

τοῖς δ' ὑμετέροις προγόνοις·

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

Ταῦτα ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι καὶ μνημονεύεσθαι καλά, καὶ 29 110 τοῖς πράξασιν ἔπαινος, καὶ τῇ πόλει δόξα ἀείμνηστος. ἀλλ' οὐχ ὁ Λεωκράτης πεποίηκεν, ἀλλ' ἑκὼν τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν κατῄσχυνεν. ἐὰν μὲν οὖν αὐτὸν ἀποκτείνητε, δόξετε πᾶσιν τοῖς Ἕλλησι καὶ ὑμεῖς τὰ τοιαῦτα τῶν ἔργων μισεῖν· εἰ δὲ μή, καὶ τοὺς προγόνους τῆς παλαιᾶς δόξης ἀποστερήσετε,

10 *ὦ ξεῖν' κτέ.* Simon. 92 D.² = Bergk, Lyr. Graeci⁴ 3, 451; cf. Hdt. 7, 228; Diod. 11, 33, 2; Strab. 9, 4, 16; cf. Cic. Tusc. 1, 101; A. P. 7, 249; Suda s. v. *Λεωνίδης* || **13** *Ἑλλήνων κτέ.* Simon. 88 D.² = Bergk, Lyr. Graeci⁴ 3, 449 || **14** *ἐστόρεσαν*] cf. Hsch. s. v. *ἐστόρεσαν· ἔστρωσαν.* de epigr. cf. Aristid. or. 28, 63 (2, 161 s. K.) et schol. 2, 159, 15 Ddf. al.

1 ⟨*ἡμέτεροι*⟩ *πρόγ.* Herw. al. cl. Isocr. 4, 85 ss. *πρόγ.* ⟨*ἡμῶν*⟩ Morus || **2** *οὐ πρῶτον* Bk. *οἱ πρῶτον* Baiter || **2–3** {*καὶ*} *καταφανῆ ποιήσαντες* propter hiat. putat Bl. || **5** *οὐχ* **N** (Morus): om. **A** (apogr.) | *ὁμοίαις* ci. Bk., cf. Isocr. 4, 92: *-ως* || **7** *ἠρίοις* (*ἠρ. τοῦ βίου* iam Cor.) Wurm, cf. fr. III. **3**: *ὁρίοις τοῦ βίου* libri (*τοῦ βίου* susp. Palmer, ret. cens. Oliver, Hesperia 2, 1933, 489; Jacoby, ibid. 14, 1945, 160) || **11** *κείνων* **PMZ**: *ἐκείνων* **NA(B)** || **12** *ἡμετ.* **N** || **16** *τοῖς πράξασιν* Tayl.: *ταῖς πράξεσιν* || **19** *μὲν* om. **A**pr | *αὐτὸν ἀποκτ.* **N**: *ἀποκτ. αὐτὸν* **A**

καὶ τοὺς ἄλλους πολίτας μεγάλα βλάψετε. οἱ γὰρ ἐκείνους
μὴ θαυμάζοντες τοῦτον πειράσονται μιμεῖσθαι, νομίζον-
τες ἐκεῖνα μὲν παρὰ τοῖς παλαιοῖς εὐδοκιμεῖν, παρ' ὑμῖν
δ' ἀναίδειαν καὶ προδοσίαν καὶ δειλίαν κεκρίσθαι κάλλι-
80 *στον.*
111 *Εἰ ⟨δὲ⟩ μὴ δύνασθε ὑπ' ἐμοῦ διδαχθῆναι, ὃν τρόπον*
δεῖ πρὸς τοὺς τοιούτους ἔχειν, σκέψασθε ἐκείνους τίνα τρό-
πον ἐλάμβανον παρ' αὐτῶν τὴν τιμωρίαν· ὥσπερ γὰρ τὰ
καλὰ τῶν ἔργων ἠπίσταντο ἐπιτηδεύειν, οὕτω καὶ τὰ
πονηρὰ προῃροῦντο κολάζειν. ἐκεῖνοι γὰρ ὦ ἄνδρες θεω-
ρήσατε ὡς ὠργίζοντο τοῖς προδόταις καὶ κοινοὺς ἐχθροὺς
112 p. 164 *ἐνόμιζον εἶναι τῆς πόλεως. Φρυνίχου γὰρ | ἀποσφαγέντος*
νύκτωρ παρὰ τὴν κρήνην τὴν ἐν τοῖς οἰσύοις ὑπὸ Ἀπολλο-
δώρου καὶ Θρασυβούλου, καὶ τούτων ληφθέντων καὶ εἰς
τὸ δεσμωτήριον ἀποτεθέντων ὑπὸ τῶν τοῦ Φρυνίχου
φίλων, αἰσθόμενος ὁ δῆμος τὸ γεγονὸς τούς τε εἱρχθέντας
ἐξήγαγε, καὶ βασάνων γενομένων τὸ πρᾶγμα ἀνέκρινε, καὶ
ζητῶν εὗρε τὸν μὲν Φρύνιχον προδιδόντα τὴν πόλιν, τοὺς
113 *δ' ἀποκτείναντας αὐτὸν ἀδίκως εἱρχθέντας· καὶ ψηφίζεται*
ὁ δῆμος Κριτίου εἰπόντος, τὸν μὲν νεκρὸν κρίνειν προδο-
σίας, κἂν δόξῃ προδότης ὢν ἐν τῇ χώρᾳ τεθάφθαι, τά γε
ὀστᾶ αὐτοῦ ἀνορύξαι καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς, ὅπως
ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὀστᾶ τοῦ τὴν χώραν καὶ
114 *τὴν πόλιν προδιδόντος. ἐψηφίσαντο δὲ {τινὲς} καὶ ἐὰν ἀπο-*

12 *Φρυνίχου*] v. Kirchner, P. A. 15011; Lenschau, RE XX 1, 1941, 907–911; id., RhM 90, 1941, 24—30 || **13** de fontis situ v. Wycherley, Test. 142 (cf. A. G. Woodhead, CR N. S. 9, 1959, 168) et C. Anti, Teatri greci arcaici, Padova 1947, imag. VIII

1 *μέγα* (ut p. 55, 25) *βλάψ.* Herw. || **3** *παλαιοῖς* Tayl.: *π . . . ἱοις* **A**^{pr} (*ολεμ* in ras. 3 litt. scr. corr. cum cett.), *προγόνοις* sive *πολλοῖς* Rehd. || **3–4** *παρ' ὑμῖν δ'* (Cohn) Bl.: *παρ' ὑμῖν* **N** *παρὰ δ' ὑμῖν* **A** || **6** *δὲ* add. Steph. || **7** *τοὺς* om. **N** || **12** *φρινίχου* **A** || **13** *οἰσύοις* **N A**^{pr}: *οἰσυίοις* **A**^{1} cett. *-σαίοις* **PMZ** || **15** *κατατεθέντων* Hirschig Cohn (cf. Demosth. 24, 63 et 56, 4) *ἀπαχθ.* ci. Herw. || **16–17** *αἰσθόμενος . . . ἐξήγαγε* ci. Cor.: *αἰσθανόμενος . . . ἐξῆγε* || **17 s.** *τὸ πρᾶγμα* post *ζητῶν* libri, trp. Bl. || **18** *προδόντα* **A**^{pr} (*-δι-* supra scr. corr.) || **21** *προδότης*] . . . . . *ς* **A**^{pr} *γε* Jacob: *τε* libri | *τά τε ὀ. αὐτοῦ* delet Dobr., fort. *τὰ ὀστᾶ γ'* {*αὐτοῦ*} propter hiat. Bl. || **24** *τινὲς* del. Auger. Heinr.

λογῶνταί τινες ὑπὲρ τοῦ τετελευτηκότος, ἐὰν ἁλῷ ὁ τεθνηκώς, ἐνόχους εἶναι καὶ τούτους τοῖς αὐτοῖς ἐπιτιμίοις· οὕτως οὐδὲ βοηθεῖν τοῖς τοὺς ἄλλους ἐγκαταλείπουσιν ἡγοῦντο δίκαιον εἶναι, ἀλλ' ὁμοίως ἂν προδοῦναι τὴν πόλιν καὶ τὸν διασῴζοντα τὸν προδότην. τοιγαροῦν οὕτω μισοῦντες τοὺς ἀδικοῦντας, καὶ τὰ τοιαῦτα κατ' αὐτῶν ψηφιζόμενοι, ἀσφαλῶς ἐκ τῶν κινδύνων ἀπηλλάττοντο. λαβὲ δ' αὐτοῖς τὸ ψήφισμα γραμματεῦ, καὶ ἀνάγνωθι.

ΨΗΦΙΣΜΑ

Ἀκούετε ὦ ἄνδρες τούτου τοῦ ψηφίσματος. ἔπειτα 115
ἐκεῖνοι μὲν τὰ τοῦ προδότου ὀστᾶ ἀνορύξαντες ἐκ τῆς Ἀττικῆς ἐξώρισαν, καὶ τοὺς ἀπολογουμένους ὑπὲρ αὐτοῦ Ἀρίσταρχον καὶ Ἀλεξικλέα ἀπέκτειναν καὶ οὐδ' ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν· ὑμεῖς δ' αὐτὸ τὸ σῶμα τὸ προδεδωκὸς τὴν πόλιν ζῶν καὶ ὑποχείριον ἔχοντες
τῇ ψήφῳ ἀτιμώρητον ἐάσετε; καὶ τοσοῦτόν γ' ἔσεσθε 116
τῶν προγόνων χείρους, ὅσον ἐκεῖνοι μὲν τοὺς λόγῳ μόνον τῷ προδότῃ βοηθήσαντας ταῖς ἐσχάταις τιμωρίαις μετῆλθον, ὑμεῖς δὲ αὐτὸν τὸν ἔργῳ καὶ οὐ λόγῳ τὸν δῆμον ἐγκαταλιπόντα ὡς οὐδὲν ἀδικοῦντα ἀφήσετε; μὴ δῆτα ὦ ἄνδρες δικασταί· ⟨οὔτε γὰρ ἔμφυτον⟩ ὑμῖν οὔτε πάτριον, ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθαι. καὶ γὰρ εἰ μὲν ἕν τι τοιοῦτον γεγονὸς ἦν ψήφισμα, εἶχεν ἄν τις εἰπεῖν ὡς δι' ὀργὴν μᾶλλον ἢ δι' ἀλήθειαν ἐποιήσαντο· ὅταν δὲ παρὰ πάντων ὁμοίως εἰληφότες ὦσι τὴν αὐτὴν τιμωρίαν,

1 *ὑπὲρ* Herw. (ut v. 12): *περὶ* | *ὁ τεθνηκώς* secl. Bl. propter hiat.: *τεθνεώς* ci. Benseler cl. p. 64, 15. 16 || **3** *ἐγκαταλιποῦσιν* Es || **6** *τὰ* om. **A** | *αὐτὸν* **N** || **8** *καὶ ἀνάγν. γραμμ.* **N** || **9** tit. om. **A** || **10** *τούτου* del. Herw. || **15** *καὶ* del. Pinzger Es || **16** *γ' ἔσεσθε* Gebauer: *ἔσεσθέ γε* || **21** 'velut ⟨*οὔτε γὰρ ἔμφυτον*⟩ *ὑμ. κτέ.*' prob. Bl. *οὐδὲ γὰρ πάτριον* Franke ⟨*ὃ*⟩ *ὑμῖν οὐδὲ πάτρ.* Sch. *οὐ γὰρ ὑμῖν πάτρ.* Es *ὑμῖν οὔ γε πάτρ.* Rehd. ⟨*οὔτε γὰρ ὅσιον*⟩ Petrie, alii alia; v. Petrie, ed. Lyc. p. 236 | *οὔτε*]*οὔτοι* **N**[c] (*ε* in *οι* mut. **N**[2]) et ci. Scal. *οὕτω* Ald. || **22** *ψηφίζεσθαι* **N** (**MZ**): -*σθε* || **23** *τις εἰπεῖν ὡς*] . . . . . **A**[pr]

πῶς οὐκ εὔδηλον ὅτι φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπο-
117 *λέμουν; Ἵππαρχον γὰρ τὸν Χάρμου, οὐχ ὑπομείναντα τὴν*
περὶ τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν
ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς
ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ
ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαν-
τες στήλην, ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτη-
ρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ
118 *στήλῃ ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. καί μοι*
λαβὲ πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου
{τοῦ προδότου} ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς
στήλης τὸ ὑπόγραμμα, καὶ τοὺς ὕστερον προσαναγραφέν-
τας προδότας εἰς ταύτην τὴν στήλην, καὶ ἀναγίγνωσκε
γραμματεῦ.

ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ

119 *Τί δοκοῦσιν ὑμῖν ὦ ἄνδρες; ἆρά γ' ὁμοίως ὑμῖν περὶ τῶν*
ἀδικούντων γιγνώσκειν, καὶ οὐκ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ
ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον
{τοῦ προδότου} ἀνελόντες ταῖς ἐνδεχομέναις τιμωρίαις
ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύ-
σειαν, ἀλλ' ἵνα τοῖς ἐπιγιγνομένοις παράδειγμα εἰς τὸν
λοιπὸν χρόνον ὡς εἶχον πρὸς τοὺς προδότας καταλίποιεν.
120 *Λαβὲ δ' αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα ⟨τὸ⟩ περὶ τῶν*
εἰς Δεκέλειαν μεταστάντων, ὅτε ὁ δῆμος ὑπὸ Λακεδαι-

2 *Ἵππ. Χάρμου*: Arist. *Ἀθ. πολ.* 22, 4; Kirchner, P. A. 7600 (stemma ibid. 2, 194); id., RE VIII 2, 1913, 1664 nr. 2; v. etiam A. E. Raubitschek, C et M 19, 1958, 105–109

2 *Χάρμου* Vales. ad Harpocr. s. v. *Ἵππ.*: *Τιμάρχου* | *τὴν*] *τῆς* **A** || **5** *τὴν εἰκόνα γ'* {*αὐτοῦ*} *ἐξ* propter hiat. mal. Bl. || **6** *συγχωνευ* a corr. **A** || **7** *ἀλειτ.* Bl. || **10–11** *τοῦ* (*ἡ* **Z** Bk.) *Ἱπ. τοῦ πρ.* propter hiat. secl. Bl. *ἐκείνου τοῦ πρ.* Mayer *τοῦ προδότου* del. Herw. || **12** *προσαν.* Tayl.: *προαν.* || **13** *εἰς τὴν αὐτὴν στ.* Herw. || **19** *τοῦ προδότου* secl. Es || **20** *τοῦ προδότου* propter hiat. secl. Bl., def. Rehd. Malcov. || **21** *κολάσαι* Bl. || **24** *τὸ* add. Thalh.

μονίων ἐπολιορκεῖτο, ὅπως εἰδῶσιν ὅτι περὶ τῶν προδοτῶν οἱ πρόγονοι ὁμοίας καὶ ἀκολούθους ἀλλήλαις τὰς τιμωρίας ἐποιοῦντο. ἀναγίγνωσκε γραμματεῦ.

ΨΗΦΙΣΜΑ

Ἀκούετε ὦ ἄνδρες καὶ τούτου τοῦ | ψηφίσματος, 121 p. 165 *ὅτι τῶν ἐν τῷ πολέμῳ μεταστάντων εἰς Δεκέλειαν κατέγνωσαν, καὶ ἐψηφίσαντο, ἐάν τις αὐτῶν ἐπανιὼν ἁλίσκηται, ἀπαγαγεῖν Ἀθηναίων τὸν βουλόμενον πρὸς τοὺς θεσμοθέτας, παραλαβόντας δὲ παραδοῦναι τῷ ἐπὶ τοῦ ὀρύγματος. ἔπειτα ἐκεῖνοι μὲν τοὺς ἐν αὐτῇ τῇ χώρᾳ μεταστάντας οὕτως ἐκόλαζον, ὑμεῖς δὲ τὸν ἐκ τῆς πόλεως καὶ τῆς χώρας ἐν τῷ πολέμῳ φυγόντα εἰς Ῥόδον καὶ προδόντα τὸν δῆμον οὐκ ἀποκτενεῖτε; πῶς οὖν δόξετε ἀπόγονοι εἶναι ἐκείνων τῶν ἀνδρῶν;*

Ἄξιον τοίνυν ἀκοῦσαι καὶ ⟨τοῦ⟩ περὶ τοῦ ἐν Σαλαμῖνι 122 *τελευτήσαντος γενομένου ψηφίσματος, ὃν ἡ βουλή, ὅτι λόγῳ μόνον ἐνεχείρει προδιδόναι τὴν πόλιν, περιελομένη τοὺς στεφάνους αὐτοχειρὶ ἀπέκτεινεν. γενναῖον δ' ὦ ἄνδρες τὸ ψήφισμα καὶ ἄξιον τῶν ὑμετέρων προγόνων, δικαίως· εὐγενεῖς γὰρ οὐ μόνον τὰς ψυχάς, ἀλλὰ καὶ τὰς τῶν ἀδικούντων τιμωρίας ἐκέκτηντο.*

ΨΗΦΙΣΜΑ

Τί οὖν ὦ ἄνδρες; ἆρά γ' ὑμῖν δοκεῖ βουλομένοις μιμεῖ- 123 *σθαι τοὺς προγόνους πάτριον εἶναι Λεωκράτην μὴ οὐκ ἀποκτεῖναι; ὁπότε γὰρ ἐκεῖνοι τὸν ἀνάστατον τὴν πόλιν οὖσαν λόγῳ μόνον προδιδόντα οὕτως ἀπέκτειναν, τί ὑμᾶς προσ-*

15s. de re v. A. W. Verrall, CR 23, 1909, 36–40

9 *παραλαβόντ . .* A^pr (*-ας* scr. A^1) | *δὲ ⟨τούτους⟩* Rei. fort. *δ' ⟨αὐτοὺς⟩* Bl. *δὲ ⟨τοὺς ἕνδεκα⟩* Paoli || **9–10** *τῷ ὀρύγματι* Tayl. || **15** *τοῦ* add. Rei. || **17** *μόνον* **N**: *μόνῳ* | *ἐπεχ.* Baiter || **18** *δ'*] *γ'* Rei. || **19** *ἡμετ.* **N** || **20** *εὐγενεῖς* Dobr.: *συγγ.* || **22** tit. h. l. Rehd.: supra post *ἀπέκτεινεν* (v. 18) **N** Markland om. cett. (in lac. **A**) || **23** *δοκεῖ ὑμῖν* **N**(**LPM** *ἡ-* **Z**) | *βουλομένους* **A**(**BPM**) || **24** *οὐκ* om. **A** || **25** *τὸν* post *οὖσαν* libri, trp. Bl. || **26** *μόνον* **N**: *μόνῳ*

ήκει τὸν ἔργῳ καὶ οὐ λόγῳ τὴν οἰκουμένην ἐκλιπόντα ποιῆσαι; ἆρ' οὐχ ὑπερβαλέσθαι ἐκείνους τῇ τιμωρίᾳ; καὶ ὅτ' ἐκεῖνοι τοὺς ἐπιχειρήσαντας τῆς παρὰ τοῦ δήμου σωτηρίας ⟨τὴν πόλιν⟩ ἀποστερεῖν οὕτως ἐκόλασαν, τί ὑμᾶς προσήκει τὸν αὐτοῦ τοῦ δήμου τὴν σωτηρίαν προδόντα ποιῆσαι; καὶ ὅτε ὑπὲρ τῆς δόξης ἐκεῖνοι τοὺς αἰτίους οὕτως ἐτιμωροῦντο, τί ὑμᾶς ὑπὲρ τῆς πατρίδος προσήκει ποιεῖν;

124 *Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὴν τῶν προγόνων γνῶναι διάνοιαν, ὡς εἶχον πρὸς τοὺς παρανομοῦντας εἰς τὴν πόλιν· οὐ μὴν ἀλλ' ἔτι βούλομαι τῆς στήλης ἀκοῦσαι ὑμᾶς τῆς ἐν τῷ βουλευτηρίῳ περὶ τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων· τὸ γὰρ μετὰ πολλῶν παραδειγμάτων διδάσκειν ῥᾳδίαν ὑμῖν τὴν κρίσιν καθίστησι. μετὰ γὰρ τοὺς τριάκοντα οἱ πατέρες ὑμῶν, πεπονθότες ὑπὸ τῶν πολιτῶν, οἷα οὐδεὶς πώποτε τῶν Ἑλλήνων ἠξίωσε, καὶ μόλις εἰς τὴν ἑαυτῶν κατεληλυθότες, ἁπάσας τὰς ὁδοὺς τῶν ἀδικημάτων ἐνέφραξαν, πεπειραμένοι καὶ εἰδότες τὰς ἀρχὰς καὶ*
125 *τὰς ἐφόδους τῶν τὸν δῆμον προδιδόντων. ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν, ἐάν τις τυραννίδι ἐπιτιθῆται ἢ τὴν πόλιν προδιδῷ ἢ τὸν δῆμον καταλύῃ, τὸν αἰσθανόμενον καθαρὸν εἶναι ἀποκτείναντα, καὶ κρεῖττον ἔδοξεν αὐτοῖς τοὺς τὴν αἰτίαν ἔχοντας τεθνάναι μᾶλλον ἢ πειραθέντας μετὰ ἀληθείας αὐτοὺς δουλεύειν· ἀρχὴν γὰρ οὕτως ᾤοντο δεῖν ζῆν τοὺς πολίτας, ὥστε μηδ' εἰς ὑποψίαν ἐλθεῖν μηδένα τούτων τῶν ἀδικημάτων. καί μοι λαβὲ τὸ ψήφισμα.*

16 *τὰς ὁδοὺς τῶν ἀδ. ἐνέφρ.*: Hyper. fr. 204 J. conf. Bl. quod potius Lycurgi esse vid. cf. M. Ostwald, the Athenian legislation against tyranny and subversion, TAPhA 86, 1955, 103 ss.; cf. J. et L. Robert, Étud. épigr. 1958, 198

1 ⟨*αὐ*⟩*τὴν οἰκ.* Levi ‖ **2** *τῇ τιμωρίᾳ* Sch.: *τῆς τιμωρίας* libri *ταῖς -ίαις* Steph. ‖ **3** *ἐπιχ.* ⟨*ἑαυτοὺς*⟩ Rei. *ἐπ.* ⟨*τὴν πατρίδα*⟩ Herw. *τοὺς ἐπ. τὴν . . . σωτηρίαν ἀπ.?* Ri. ‖ **4** ⟨*τὴν πόλιν*⟩ Bl. ‖ **5** *αὐτοῦ* Bk. falso legens **Z**: *αὐτὸν* **A**, ubi non liquet utrum *ο* an *η* legendum sit, apogr.; (*-ῶ* **Z** me teste) *-ὴν* **N** | *τὴν* om. **A**pr ‖ **8** *γνῶναι τὴν τῶν πρ.* **N** ‖ **9** *εἰς*] . . . *ς* (*πρὸς* Bl.) **A**pr ‖ **15** *οὐδένες* Es, cf. Rehd. | *ἠξίωσε* del. Dobr. Turr.; sc. *παθεῖν τὴν πόλιν*, cf. Rei.; Bl. comm. cr.; C. Rüger, BphW 52, 1932, 1518 ‖ **18** post *γὰρ* **A**pr *τυραννίδι*, quod punctis del. ‖ **19** *ἐπιτιθῆται* Bk.: *ἐπιθῆται* ‖ **20** *καταλύει* **A** (*κατ-* a corr.)

ΨΗΦΙΣΜΑ

Ταῦτα ὦ ἄνδρες ἔγραψαν εἰς τὴν στήλην, καὶ ταύτην **126**
ἔστησαν εἰς τὸ βουλευτήριον, ὑπόμνημα τοῖς καθ' ἑκά-
στην ἡμέραν συνιοῦσι καὶ βουλευομένοις ὑπὲρ τῆς πατρί-
δος, ὡς δεῖ πρὸς τοὺς τοιούτους ἔχειν. καὶ διὰ τοῦτο ἄν τις
αἴσθηται μόνον μέλλοντας αὐτοὺς τούτων τι ποιεῖν, ἀπο-
κτενεῖν συνώμοσαν, εἰκότως. τῶν μὲν γὰρ ἄλλων ἀδικημά-
των ὑστέρας δεῖ τετάχθαι τὰς τιμωρίας, προδοσίας δὲ καὶ
δήμου καταλύσεως προτέρας. εἰ γὰρ προήσεσθε τοῦτον
τὸν καιρόν, ἐν ᾧ μέλλουσιν ἐκεῖνοι κατὰ τῆς πατρίδος
φαῦλόν τι πράττειν, οὐκ ἔστιν ὑμῖν μετὰ ταῦτα δίκην παρ'
αὐτῶν ἀδικούντων λαβεῖν· κρείττους γὰρ ἤδη γίγνονται
τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας.
Ἐνθυμεῖσθε τοίνυν ὦ ἄνδρες τῆς προνοίας ταύτης καὶ **81** 127
τῶν ἔργων ἀξίως, καὶ μὴ ἐπιλανθάνεσθε ἐν τῇ ψήφῳ,
οἵων ἀνδρῶν ἔκγονοί ἐστε, ἀλλὰ παρακελεύεσθε ὑμῖν αὐτοῖς,
ὅπως ὅμοια ἐκείνοις καὶ ἀκόλουθα ἐν τῇ τήμερον ἡμέρᾳ
ἐψηφισμένοι ἐκ τοῦ δικαστηρίου ἐξίητε. ὑπομνήματα δ'
ἔχετε καὶ παραδείγματα τῆς ἐκείνων τιμωρίας τὰ ἐν τοῖς
περὶ τῶν ἀδικούντων ψηφίσμασιν ὡρισμένα· διομωμό-
κατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου, κτενεῖν τὸν
τὴν πατρίδα προδιδόντα καὶ λόγῳ καὶ ἔργῳ καὶ χειρὶ καὶ
ψήφῳ. μὴ γὰρ οἴεσθε τῶν μὲν οὐσιῶν, ἃς ἂν οἱ πρόγονοι |
καταλίπωσι, κληρονόμοι εἶναι, τῶν δ' ὅρκων καὶ τῆς **p. 166**

1 *ΨΗΦ.* v. Andoc. 1, 96 || **7 ss.** ad sententiam cf. [Demosth.] c. Aristog. B § 4; Sallust. Catil. 52, 4 (Petrie); cf. Din. 3, 8 Malcov. || **21** cf. Andoc. 1, 96–99; de Demoph. v. Kirchner, P. A. 3059, id., RE V 1, 1903, 145–146; de decr. v. P. Cloché, Remarques sur la réaction anti-oligarchique à Athènes en 411 et 410 avant J. C., Mélanges O. Navarre, Toulouse 1935, 81 ss.; M. Ostwald, Athenian legislation 111 et n. 2; D. Macdowell, Andokides on the Mysteries, Oxford 1962, ad loc.

1 tit. hab. **N**, om. in lac. **A** || **6** *αὐτοὺς* del. mal. Sch. | *ἀποκτενεῖν* Cobet, cf. v. 21: *-είνειν* (*-νεῖν* **P**) || **7** *γὰρ* om. **A**pr || **9** *προήσεσθε* Tayl.: *ποιή-* | *τούτων* **N** || **11** *ἡμῖν* **N** || **11–12** *παρὰ τῶν* **Z** Heinr. Meier || **18** *ἔξιτε* mal. Rehd., rec. Bl. || **21** *κτενεῖν* Cobet, cf. supra *ἀποκτενεῖν* : *κτείνειν* || **22** *ἀποδιδόντα* **N** || **24** *καταλείπωσι* **N**

πίστεως, ἣν δόντες οἱ πατέρες ὑμῶν ὅμηρον τοῖς θεοῖς τῆς κοινῆς εὐδαιμονίας τῆς πόλεως μετεῖχον, ταύτης δὲ μὴ κληρονομεῖν.

82
128 *Οὐ μόνον τοίνυν ἡ πόλις ὑμῶν οὕτως ἔσχεν πρὸς τοὺς προδιδόντας, ἀλλὰ καὶ Λακεδαιμόνιοι. καὶ μή μοι ἀχθεσθῆτε ὦ ἄνδρες, εἰ πολλάκις μέμνημαι τῶν ἀνδρῶν τούτων· καλὸν γάρ ἐστιν ἐκ πόλεως εὐνομουμένης περὶ τῶν δικαίων παραδείγματα λαμβάνειν, ⟨ἵν'⟩ ἀσφαλέστερον {γὰρ} ἕκαστος ὑμῶν τὴν δικαίαν καὶ τὴν εὔορκον ψῆφον θῆται. Παυσανίαν γὰρ τὸν βασιλέα αὐτῶν προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα λαβόντες, ἐπειδὴ ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερόν, τὴν θύραν ἀποικοδομήσαντες καὶ τὴν ὀροφὴν ἀποσκευάσαντες καὶ κύκλῳ περιστρατοπεδεύ-*
129 *σαντες, οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ λιμῷ ἀπέκτειναν, καὶ πᾶσιν ἐπίσημον ἐποίησαν τὴν τιμωρίαν, ὅτι οὐδ' αἱ παρὰ τῶν θεῶν ἐπικουρίαι τοῖς προδόταις βοηθοῦσιν, εἰκότως· οὐδὲν γὰρ πρότερον ἀδικοῦσιν ἢ περὶ τοὺς θεοὺς ἀσεβοῦσι, τῶν πατρίων νομίμων αὐτοὺς ἀποστεροῦντες. μέγιστον δὲ τῶν ἐκεῖ γεγενημένων τεκμήριόν ἐστιν ὃ μέλλω λέγειν· νόμον γὰρ ἔθεντο περὶ ἁπάντων τῶν μὴ 'θελόντων ὑπὲρ τῆς πατρίδος κινδυνεύειν, διαρρήδην λέγοντα ἀποθνήσκειν, εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν τάξαντες, εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσι, καὶ τὴν ἐκ τοῦ πολέμου σωτηρίαν ὑπεύθυνον ἐποίησαν κινδύνῳ μετ' αἰσχύνης. ἵνα δ' εἰδῆτε ὅτι οὐ λόγον ἀναπόδεικτον εἴρηκα, ἀλλὰ μετ' ἀληθείας ὑμῖν παραδείγματα, φέρε αὐτοῖς τὸν νόμον.*

1 *ἡμῶν* **A** || **4** *ἡμῶν* **N** || **5** *μὴ* om. A^{pr} ut vid. || **7** *ἐστιν ἐκ* **N** et ci. Bursian: *ἐστι* cett. *ἐστ' ἐκ* Bl. || **8** *ἵν' ἀσφ.* Bl.: *ἀσφ. γὰρ* || **9** *θῆτε* et spatium vacuum 4 litt. **N** *θήσεται* Schaub || **10** ⟨*τὸν*⟩ *αὐτῶν* (*αὐτ-* Bk.) ci. Sch.; acc. Bl. || **11** *ἐπειδὴ . .* A^{pr} | *καταφ. ἔφθασεν* Bl. || **12** *ἱερὸν* secl. Bl. cl. p. 85, 5. 11 | *ἀποικ-* Duker: *ἀνοικ.* libri *ἐνοικ-* sec. Diod. 11, 45 Tayl. || **14** *ἢ* del. Es Bl. || **14** *τὴν τιμωρίαν* del. Heinr. *τῇ τιμωρίᾳ* Morus || **17** *ἀδικοῦσιν* delebat Bk., cf. p. 65, 8 Bl., def. Malcov. || **18** *πατρίων* Saup.: *πατρῴων* | *αὐτοὺς* Schulze: *ἑαυτοὺς* || **19** *γεγεν.* secl. Bl. fort. recte || **22** *εἰς . . εἰς*: cf. Franke, Acta societ. Gr. 2, 1837, 31 ss. (Isocr. 4, 140. 12, 68. 15, 187) || **23** . . . . . . *ρίαν* A^{pr} || **24** *ἐπ. κινδ.* **N**: *κινδ. ἐπ.* || **25** *ἀναπόδεικτον* (*απο* a corr. **A**) || **26** *ὑμῖν* om. **A**

ΝΟΜΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ

Ἐνθυμεῖσθε δή, ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμ- 130
φορος οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις.
ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει
τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν· τίς γὰρ
ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην, ἐν τοῖς κινδύνοις
ἐκλείψει τὴν πατρίδα; ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως
φιλοψυχήσει, εἰδὼς ὑποκειμένην αὐτῷ ⟨ταύτην⟩ τιμωρίαν;
οὐδεμίαν γὰρ ἄλλην δεῖ ζημίαν εἶναι τῆς δειλίας ἢ θάνα-
τον· εἰδότες γὰρ ὅτι δυοῖν κινδύνοιν ὑποκειμένοιν, ἀναγκαῖον
ἔσται θατέρου μετασχεῖν, πολὺ μᾶλλον αἱρήσονται τὸν πρὸς
τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας. **33**
Τοσούτῳ δ' ἂν δικαιότερον οὗτος ἀποθάνοι τῶν ἐκ 131
τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν
ἥκουσιν, ὡς ὑπὲρ ταύτης μαχούμενοι ἢ κοινῇ μετὰ τῶν
ἄλλων πολιτῶν συνατυχήσοντες, οὑτοσὶ δ' ἐκ τῆς πατρίδος
ἔφυγεν, ἰδίᾳ τὴν σωτηρίαν πορίζόμενος, οὐδ' ὑπὲρ τῆς ἰδίας
ἑστίας ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάν-
των ἀνθρώπων καὶ τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα
προδέδωκεν, ἃ καὶ τοῖς ἀλόγοις ζῴοις μέγιστα καὶ σπου-
δαιότατα διείληπται. τὰ γοῦν {ζῷα} πετεινὰ ἃ μάλιστα πέ- 132
φυκε πρὸς τάχος, ἔστιν ἰδεῖν ὑπὲρ τῆς αὑτῶν νεοττιᾶς ἐθέ-
λοντα ἀποθνῄσκειν· ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν·

> *οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον,*
> *ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν.*

24 TGF adesp. 297 N.^{2}

1 tit. in lac. om. **A** (*νόμος* tantum apogr.) || **2** *ὦ ἄ.* post *δὴ* **N** || **8** ⟨*ταύτην*⟩ Sch.: *τὴν* **Z** om. cett. ⟨*ταύτην τὴν*⟩ Frohb. | *ὑποκ.* '(*ἐπικ.* Cor. Es) cf. Demosth. 34, 19; Polyb. 2, 58, 10' Bl. || **12** *τοὺς*^{2} om. **A** || **14** *φυγόντων* Es || **16** *-τυχήσοντες* Dobr.: *-τυχοῦντες* libri *συνατυχεῖν ἀξιοῦντες* Ri. cl. Lys. 12, 11 || **17** *ὑπὲρ* om. **A**^{pr} || **21** *πετεινὰ* G. Herm.: *ζῷα πετ.*; sed cf. Theoph. contin. 5, 101 ed. Bonn. p. 350, 21 *ἤν τι ζῷον πτηνὸν* | *ἃ* post *τάχος* libri (ret. Cima), h. l. Rei. || **22** *πρὸς τάχος* apogr. (felicem per errorem **B**?): *πρὸς τὸ τ.* **N A** | *ἑαυτῶν* **N** || **25** *ἄλλην* Cor.: *ἄλλῃ*, quod nonnullis plac., libri *ἀλλ' ἢ* Pezop. cl. Thuc. 5, 60, 1 | *ἠξ. ἐντ.* Scal.: *ἐντ. ἠξ.*

84 ἀλλὰ Λεωκράτης τοσοῦτον ὑπερβέβληκε δειλίᾳ, ὥστε
133 τὴν πατρίδα τοῖς πολεμίοις ἐγκατέλιπε. τοιγαροῦν οὐδεμία πόλις αὐτὸν εἴασε παρ᾽ αὐτῇ μετοικεῖν, ἀλλὰ μᾶλλον τῶν ἀνδροφόνων ἤλαυνεν, εἰκότως· οἱ μὲν γὰρ φόνου φεύγοντες εἰς ἑτέραν πόλιν μεταστάντες οὐκ ἔχουσιν ἐχθροὺς τοὺς ὑποδεξαμένους, τοῦτον δὲ τίς ἂν ὑποδέξαιτο πόλις; ὃς γὰρ ὑπὲρ τῆς αὑτοῦ πατρίδος οὐκ ἐβοήθησεν, ταχύ γ᾽ ἂν ὑπὲρ τῆς ἀλλοτρίας κίνδυνόν τιν᾽ ὑπομείνειεν. κακοὶ γὰρ καὶ πολῖται καὶ ξένοι καὶ ἰδίᾳ φίλοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων εἰσίν, οἳ τῶν μὲν ἀγαθῶν τῶν τῆς πόλεως μεθ-
134 έξουσιν, ἐν δὲ ταῖς ἀτυχίαις οὐδὲ βοηθείας ἀξιώσουσι. καί-
p.167 τοι τὸν ὑπὸ τῶν μηδὲν | ἀδικουμένων μισούμενον καὶ ἐξελαυνόμενον, τί δεῖ παθεῖν ὑφ᾽ ὑμῶν τῶν τὰ δεινότατα πεπονθότων; ἆρ᾽ οὐ τῆς ἐσχάτης τιμωρίας τυγχάνειν; καὶ μὴν ὦ ἄνδρες τῶν πώποτε προδοτῶν δικαιότατ᾽ ἂν Λεωκράτης, εἴ τις μείζων εἴη τιμωρία θανάτου, ταύτην ὑπόσχοι. οἱ μὲν γὰρ ἄλλοι προδόται, μέλλοντες ἀδικεῖν ὅταν {μὴ} ληφθῶσι, τιμωρίαν ὑπέχουσιν· οὗτος δὲ μόνος διαπεπραγμένος ὅπερ ἐπεχείρησε, τὴν πόλιν ἐγκαταλιπὼν κρίνεται.

85
135 Θαυμάζω δὲ καὶ τῶν συνηγορεῖν αὐτῷ μελλόντων, διὰ τί ποτε τοῦτον ἀξιώσουσιν ἀποφυγεῖν. πότερον διὰ τὴν πρὸς αὐτοὺς φιλίαν; ἀλλ᾽ ἔμοιγε δοκοῦσι δικαίως οὐκ ἂν χάριτος τυχεῖν, ἀλλ᾽ ἀποθανεῖν, ὅτι χρῆσθαι τούτῳ τολμῶσι. πρὶν μὲν γὰρ τοῦτο πρᾶξαι Λεωκράτην, ἄδηλον ἦν ὁποῖοί τινες ὄντες ἐτύγχανον, νῦν δὲ πᾶσιν φανερὸν ὅτι τοῖς αὐτοῖς ἤθεσι χρώμενοι τὴν πρὸς τοῦτον φιλίαν διαφυλάττουσιν, ὥστε πολὺ πρότερον ὑπὲρ αὑτῶν αὐτοῖς ἐστιν ἀπολογητέον, ἢ τοῦτον παρ᾽ ὑμῶν ἐξαιτητέον.

4 τῶν ἀνδροφόνων N^{2}: τὸν -φόνον || 7 ἑαυτοῦ N(P) || 7–8 ταχύ γ᾽ ἂν: cf. Gebauer, Argum. ex contr. 9–10 || 8 ὑπομένειεν N || 12 ἐξ.ελαυν. A^{pr} || 13 ἡμῶν N || 15 προδόντων Es || 16 εἴη μείζων N || 18 ληφθ. Contius Meier καταληφθ. G. Herm. συλληφθ. Halm: μὴ ληφθ. N^{pr} A (apogr.) δὴ λ. N^{2} (δ in ras.), μὴ φθῶσι Cor. μὴ λάθωσιν Dobr. || 19 τὴν πόλιν ἐγκ. del. Dobr. || 21 αὐτῶν A^{pr} (ν ras. del.) || 24 τούτῳ χρῆσθαι N || 27 τούτων A(B)

Ἡγοῦμαι δ' ἔγωγε καὶ τὸν πατέρα αὐτῷ τὸν τετελευτηκότα, εἴ τις ἄρ' ἔστιν αἴσθησις τοῖς ἐκεῖ περὶ τῶν ἐνθάδε γιγνομένων, ἁπάντων ἂν χαλεπώτατον γενέσθαι δικαστήν, οὗ τὴν χαλκῆν εἰκόνα ἔκδοτον κατέλιπε τοῖς πολεμίοις ἐν τῷ τοῦ Διὸς ⟨τοῦ⟩ Σωτῆρος ἱεροσυλῆσαι καὶ αἰκίσασθαι, καὶ ἣν ἐκεῖνος ἔστησε μνημεῖον τῆς αὑτοῦ μετριότητος, ταύτην αὐτὸς ἐπονείδιστον ἐποίησε· τοιούτου γὰρ υἱοῦ πατὴρ προσαγορεύεται. διὸ καὶ πολλοί μοι προσ- 136 137
εληλύθασιν ὦ ἄνδρες ἐρωτῶντες, διὰ τί οὐκ ἐνέγραψα τοῦτο εἰς τὴν εἰσαγγελίαν, προδεδωκέναι τὴν εἰκόνα τὴν τοῦ πατρός, τὴν ἐν τῷ τοῦ Διὸς τοῦ Σωτῆρος ἀνακειμένην. ἐγὼ δ' ὦ ἄνδρες οὐκ ἠγνόουν τοῦτο τἀδίκημ' ἄξιον ⟨ὂν⟩ τῆς μεγίστης τιμωρίας, ἀλλ' οὐχ ἡγούμην δεῖν περὶ προδοσίας τοῦτον κρίνων ὄνομα Διὸς Σωτῆρος ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν.

Ἐκπέπληγμαι δὲ μάλιστα ἐπὶ τοῖς μήτε γένει μήτε φιλίᾳ μηδὲν προσήκουσι, μισθοῦ δὲ συναπολογουμένοις ἀεὶ τοῖς κρινομένοις, εἰ λελήθασιν ὑμᾶς τῆς ἐσχάτης ὀργῆς δικαίως ἂν τυγχάνοντες· τὸ γὰρ ὑπὲρ τῶν ἀδικησάντων ἀπολογεῖσθαι τεκμήριόν ἐστιν ὅτι καὶ τῶν πεπραγμένων τοῖς τοιούτοις ἂν μετάσχοιεν. οὐ γὰρ δεῖ καθ' ὑμῶν γεγενῆσθαι δεινόν, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας. 138

Καίτοι τινὲς αὐτῶν οὐκέτι τοῖς λόγοις ὑμᾶς παρακρούσασθαι ζητοῦσιν, ἀλλ' ἤδη ταῖς αὐτῶν λητουργίαις ἐξαιτεῖσθαι τοὺς κρινομένους ἀξιώσουσιν· ἐφ' οἷς ἔγωγε καὶ μάλιστ' ἀγανακτῶ. εἰς γὰρ τὸν ἴδιον οἶκον αὐτὰς περι- 139

17 s. cf. schol. ad Aeschin. 1, 94

5 ⟨*τοῦ*⟩ Ald. | *ἱεροσολ.* **N**pr corr. **N**² *ἱερῷ συλ.* Tayl. || **6** *ἑαυτοῦ* **N** || **7** *οὗτος* Rei. || **8** *προσεληλύθασιν*] *ασιν* a corr. **A** || **10–11** *προδεδωκέναι . . . ἀνακειμ.* **A**mg. || **12** *ἠγν.* ⟨*μὲν*⟩? Bk. || **13** ⟨*ὂν*⟩ Bk. || **14** '*ἐγγράψαι* Es *ἐγγρ. εἰς τὴν* Cobet, fort. *γράψαι* Frohb., cl. Hyper. 3, 30 del. reliquis' Bl. || **19** *ἀδικησάντων* ci. Bk. (Add.): *-κημάτων* || **21** *τοῖς τοιούτοις* Bl.: *οἱ τοιοῦτοι* | *δεῖ* Bk.: *δὴ* libri | *δεῖ . . γενέσθαι* vel *ἔδει γεγεν. δεινούς* Dobr. || **22** *ὑμῶν* **N**: *ἡμῶν* || **24** *οὐκέτι* Rei.: *οὐκ ἐπὶ* | *παρακρ.* **N**: *προσκρ.* || **25** *ληт.* Bl.: *λειτ.* || **26** *ἀξιοῦσιν* Heinr., sed cf. p. 84, 22

ποιησάμενοι, κοινὰς χάριτας ὑμᾶς ἀπαιτοῦσιν. οὐ γὰρ εἴ τις ἱπποτρόφηκεν ἢ κεχορήγηκε λαμπρῶς ἢ τῶν ἄλλων τῶν τοιούτων τι δεδαπάνηκεν, ἄξιός ἐστιν παρ' ὑμῶν τοιαύτης χάριτος (ἐπὶ τούτοις γὰρ αὐτὸς μόνος στεφανοῦται, τοὺς ἄλλους οὐδὲν ὠφελῶν), ἀλλ' εἴ τις τετριηράρχηκε λαμπρῶς ἢ τείχη τῇ πατρίδι περιέβαλεν ἢ πρὸς τὴν κοι- 140 *νὴν σωτηρίαν ἐκ τῶν ἰδίων συνευπόρησε· ταῦτα γάρ ἐστι κοινῶς ὑπὲρ ὑμῶν ἁπάντων, καὶ ἐν μὲν τούτοις ἔστιν ἰδεῖν τὴν ἀρετὴν τῶν ἐπιδεδωκότων, ἐν ἐκείνοις δὲ τὴν εὐπορίαν {μόνον} τῶν δεδαπανηκότων. ἡγοῦμαι δ' ἔγωγε οὐδένα {ἂν} οὕτω μεγάλα τὴν πόλιν εὐεργετηκέναι, ὥστ' ἐξαίρετον ἀξιοῦν λαμβάνειν ⟨ἂν⟩ χάριν τὴν κατὰ τῶν προδιδόντων τιμωρίαν, οὐδ' οὕτως ἀνόητον ὥστε φιλοτιμεῖσθαι μὲν πρὸς τὴν πόλιν, τούτῳ δὲ βοηθεῖν ὃς αὐτοῦ πρῶτου τὰς φιλοτιμίας ἠφάνισεν· εἰ μὴ νὴ Δία μὴ ταὐτὰ τῇ πατρίδι καὶ τούτοις ἐστὶ συμφέροντα.*

36 141 *Ἐχρῆν μὲν οὖν ὦ ἄνδρες, εἰ καὶ περὶ οὐδενὸς ἄλλου νόμιμόν ἐστι παῖδας καὶ γυναῖκας παρακαθισαμένους ἑαυτοῖς τοὺς δικαστὰς δικάζειν, ἀλλ' οὖν περὶ προδοσίας γε κρίνοντας οὕτως ὅσιον εἶναι τοῦτο πράττειν, ὅπως ὁπόσοι τοῦ κινδύνου μετεῖχον ἐν ὀφθαλμοῖς ὄντες καὶ ὁρώμενοι καὶ ἀναμιμνῄσκοντες ὅτι τοῦ κοινοῦ παρὰ πᾶσιν ἐλέου οὐκ |* p.168 *ἠξιώθησαν, πικροτέρας τὰς γνώσεις κατὰ τοῦ ἀδικοῦντος παρεσκεύαζον. ἐπειδὴ δ' οὐ νόμιμον οὐδ' εἰθισμένον ἐστίν, ἀλλ' ἀναγκαῖον ὑμᾶς ὑπὲρ ἐκείνων δικάζειν, τιμωρησάμενοι γοῦν Λεωκράτη καὶ ἀποκτείναντες αὐτόν, ἀπαγγείλατε τοῖς ὑμετέροις αὐτῶν παισὶν καὶ γυναιξίν, ὅτι ὑποχείριον* 142 *λαβόντες τὸν προδότην αὐτῶν ἐτιμωρήσασθε. καὶ γὰρ δει-*

2 *ἱπποτρ.* Es: *ἱπποτετρ.* || **4** *τοσαύτης χ.* Cor. *τινος χ.* Bl. || **8** *ὑμῶν* **N** et ci. Saup.: *ἡμῶν* || **10** *μόνον* (*μόνων* **N**) om. cum **A**^{pr} Bl. | *ἂν* del. Franke, post *λαμβάνειν* v. 12 trp. Bl. || **11** *εὐεργ.* **N**(**Z**): *εὐηργ.* || **12** *ἀξιοῦν* del. Bl. *ἄξιον εἶναι* Ri. | *κατὰ* del. Tayl. || **14** *πρὸς* **A**$^{mg.}$ | *πρώτου* **N**(**Z**) et ci. Rei.: *πρῶτον* cett. *πρότερον* Frohb. || **19** *γε* post *οὖν* libri: trp. Es || **21** *καὶ ὁρώμ.* del. Es || **24** *παρεσκεύαζον* Es: *παρασκευάζωσιν* (*-ουσιν* **A**^{pr}) || **26** *γοῦν* Jenicke: *οὖν* | *αὐτόν* del. Es || **27** *ἡμετ.* **N**

νὸν καὶ σχέτλιον, ὅταν νομίζῃ δεῖν Λεωκράτης ἴσον ἔχειν ὁ φυγὼν ἐν τῇ τῶν μεινάντων πόλει, καὶ ὁ μὴ κινδυνεύσας ἐν τῇ τῶν παραταξαμένων, καὶ ὁ μὴ διαφυλάξας ἐν τῇ τῶν σωσάντων, ἀλλ' ἥκῃ ἱερῶν θυσιῶν ἀγορᾶς νόμων πολιτείας μεθέξων, ὑπὲρ ὧν τοῦ μὴ καταλυθῆναι χίλιοι τῶν ὑμετέρων πολιτῶν ἐν Χαιρωνείᾳ ἐτελεύτησαν καὶ δημοσίᾳ αὐτοὺς ἡ πόλις ἔθαψαν· ὧν οὗτος οὐδὲ τὰ ἐλεγεῖα τὰ ἐπιγεγραμμένα τοῖς μνημείοις ἐπανιὼν εἰς τὴν πόλιν ᾐδέσθη, ἀλλ' οὕτως ἀναιδῶς ἐν τοῖς ὀφθαλμοῖς τῶν πενθησάντων τὰς ἐκείνων συμφορὰς ἡγεῖται δεῖν ἀναστρέφεσθαι. καὶ 143
αὐτίκα μάλ' ὑμᾶς ἀξιώσει ἀκούειν αὐτοῦ ἀπολογουμένου κατὰ τοὺς νόμους· ὑμεῖς δ' ἐρωτᾶτε αὐτὸν ποίους; οὓς ἐγκαταλιπὼν ᾤχετο; καὶ ἐᾶσαι αὐτὸν οἰκεῖν ἐν τοῖς τείχεσι τῆς πατρίδος· ποίοις; ἃ μόνος τῶν πολιτῶν {οἷς} οὐ συνδιεφύλαξε; καὶ ἐπικαλέσεται τοὺς θεοὺς σώσοντας αὐτὸν ἐκ τῶν κινδύνων· τίνας; οὐχ ὧν τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη προὔδωκε; καὶ δεήσεται καὶ ἱκετεύσει ἐλεῆσαι αὐτόν· τίνων; οὐχ οἷς τὸν αὐτὸν ἔρανον εἰς τὴν σωτηρίαν εἰσενεγκεῖν οὐκ ἐτόλμησε; Ῥοδίους ἱκετευέτω· τὴν γὰρ ἀσφάλειαν ἐν τῇ ἐκείνων πόλει μᾶλλον ἢ ἐν τῇ ἑαυτοῦ πατρίδι ἐνόμισεν εἶναι. ποία δ' ἡλικία δικαίως ἂν τοῦτον 144
ἐλεήσειε; πότερον ἡ τῶν πρεσβυτέρων; ἀλλ' οὐδὲ γηροτροφηθῆναι, οὐδ' ἐν ἐλευθέρῳ ⟨τῷ⟩ ἐδάφει τῆς πατρίδος αὐτοῖς ταφῆναι τὸ καθ' αὑτὸν μέρος παρέδωκεν. ἀλλ' ἡ τῶν νεωτέρων; καὶ τίς ⟨ἂν⟩ ἀναμνησθεὶς τῶν ἡλικιωτῶν

1 *Λεωκρ.* del. Morus Rehd., cf. Gebauer, Argum. ex contr. 39 u. ad 40. 374 || **2** *μεινάντων* Tayl.: *σωσάντων* (e v. 4) libri *συστάντων* Jenicke || **4** *ἥκῃ* Steph.: *ἥκει* | *θυσιῶν* Tayl.: *οὐσιῶν* libri *ὁσίων* Rei., cf. Rehd., ed. Lyc. p. 148–149 *θυσιῶν ἱερῶν* mal. propter hiat. Bl. || **5** *τοῦ μὴ καταλ.* del. Tayl. || **6** *ἐν Χαιρ.* propter hiat. secl. Bl. || **7** *ἔθαψεν* **P** et ci. Tayl., sed cf. p. 64, 6 s. || **10** *ἀναστρέφεσθε* **N**^{pr} corr. **N**^{2} || **13** *ἐᾶσαι* Rei.: *ἐάσετε* || **14** *τῆς π.* **A**: *τοῖς π.* **N** fort. *τοῖς τῆς* Bl., sed v. Gebhardt, Adnot. crit. 26 ss. | *ποίοις; ἃ μόνος* Rei.: *ποιησάμενοι* | *οὐ* Bk.: *οἷς οὐ* **N**^{pr} **A**^{1} (apogr.) *οὓς οὐ* **A**^{pr}**N**^{2} || **15** *ἐπικαλεῖται* Cobet, sed cf. p. 39, 4 || **18** *αὐτόν· τίνων* **PMZ** et ci. Tayl.: *αὐτὸν τίνων* (*αὐτόν; τίνων* **N**) | *τὸν αὐτὸν ἔρανον* Scal.: *τῶν -ῶν -ων* || **21** *πατρι . . δι* **A**^{pr} || **23** *τῷ* add. Dobr. || **25** *ἂν* add. Schaub *ἂν μνησθεὶς* Bk.

τῶν ἐν Χαιρωνείᾳ ἑαυτῷ συμπαραταξαμένων καὶ τῶν κινδύνων τῶν αὐτῶν μετασχόντων, σώσειεν τὸν τὰς ἐκείνων θήκας προδεδωκότα, καὶ τῇ αὐτῇ ψήφῳ τῶν μὲν ὑπὲρ τῆς ἐλευθερίας τελευτησάντων παράνοιαν καταγνοίη, τὸν δ' ἐγκαταλιπόντα τὴν πατρίδα ὡς εὖ φρονοῦντα ἀθῷον 145 *ἀφείη; ἐξουσίαν ἄρα δώσετε τῷ βουλομένῳ, καὶ λόγῳ καὶ ἔργῳ τὸν δῆμον καὶ ὑμᾶς κακῶς ποιεῖν. οὐ γὰρ μόνον νῦν οἱ φεύγοντες κατέρχονται, ὅταν ὁ ἐγκαταλιπὼν τὴν πόλιν, καὶ φυγὴν αὐτὸς ἑαυτοῦ καταγνούς, καὶ οἰκήσας ἐν Μεγάροις ἐπὶ προστάτου πλείω πέντ' ἢ ἓξ ἔτη, ἐν τῇ χώρᾳ καὶ ἐν τῇ πόλει ἀναστρέφηται, ἀλλὰ καὶ ὁ μηλόβοτον τὴν Ἀττικὴν ⟨ἀν⟩εῖναι φανερᾷ τῇ ψήφῳ καταψηφισάμενος, οὗτος ἐν ταύτῃ τῇ χώρᾳ σύνοικος ὑμῶν γεγένηται.*

87 146 *Βούλομαι δ' ἔτι βραχέα πρὸς ὑμᾶς εἰπὼν καταβῆναι, καὶ τὸ ψήφισμα τοῦ δήμου παρασχόμενος, ὃ περὶ εὐσεβείας ἐποιήσατο· χρήσιμον γὰρ ὑμῖν ἐστι τοῖς μέλλουσι τὴν ψῆφον φέρειν. καί μοι λέγε {τὸ} αὐτό.*

ΨΗΦΙΣΜΑ

Ἐγὼ τοίνυν {ὑμῖν} μηνύω τὸν ἀφανίζοντα ταῦτα πάντα πρὸς ὑμᾶς τοὺς κυρίους ὄντας κολάσαι, ὑμέτερον δ' ἐστὶ καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσασθαι Λεωκράτην. τὰ γὰρ ἀδικήματα, ἕως μὲν ἂν ᾖ ἄκριτα, παρὰ τοῖς πράξασίν ἐστιν, ἐπειδὰν δὲ κρίσις γένηται, παρὰ τοῖς μὴ δικαίως ἐπεξελθοῦσιν. εὖ δ' ἴστε ὦ ἄνδρες, ὅτι νῦν κρύβδην ψηφιζό-

1 *ἐν Χαιρ.* secl. Bl. ut p. 87, 6 | *ἑαυτῷ* Morus: *-οῖς* || **2** *σώσειεν* **N**: *-σειε* || **4** *-νοιαν* Rei. Bl. cl. Demosth. procem. *λε'* 1 p. 1444, 16: *-νοίας* || **5** *δ' ἐγκατ.* ci. Bk.: *δὲ κατ.* || **6** *ἀφείη* **N**: *ἀφίει* **A**pr *ἀφήσει* **A**1 (apogr.) | *τῷ* add. **PMZ** || **7** *καί*2 om. **A**pr || **8** *νῦν* h. l. secl. Bl. et inser. post *πόλει* v. 11 || **10** *πλεῖν* Es Herw. | *πέντ' ἢ ἕξ*] *ἢ πέντ'* Herw. *ἢ ἕξ* Heinr. sed cf. Demosth. 21, 21 *οὐκ εἰσὶ πέντ' ἢ ἕξ; πέντ' ἢ ἕξ* omnino susp. Sch. Durrbach | *ἔτη* Ald.: *τῇ* || **12** *ἀνεῖναι* ci. Baiter: *εἶναι*, cf. Suda s. v. *μηλόβ. χώρα* (= fr. III. 2) || **13** *ὑμῖν* Herw. | *γεγένηται* Thalh.: *γένηται* libri *γενήσεται* Melanchth. *γίγνεται* Rehd. || **15** *πα . . χόμενος* **A**pr || **16** *ὑμῖν ἐστιν* ⟨*ἀκοῦσαι*⟩? Bl. || **17** *αὐτὸ* Urban Turr.: *τὸ αὐτὸ* libri *τοῦτο* Cima || **18** tit. om. in lac. **A**(**B**) habet **Z**mg || **19** *ὑμῖν* om. **A**pr del. Heinr. edd.

μενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὑτοῦ διάνοιαν τοῖς θεοῖς. ἡγοῦμαι δ' ὦ ἄνδρες ὑπὲρ ἁπάντων τῶν μεγί- 147
στων καὶ δεινοτάτων ἀδικημάτων μίαν ὑμᾶς ψῆφον ἐν τῇ τήμερον ἡμέρᾳ φέρειν, οἷς ἅπασιν ἔνοχον ὄντα Λεωκράτην ἔστιν ἰδεῖν, προδοσίας μὲν ὅτι τὴν πόλιν ἐγκαταλιπὼν τοῖς πολεμίοις ὑποχείριον ἐποίησε, δήμου δὲ καταλύσεως ὅτι οὐχ ὑπέμεινε τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, ἀσεβείας δ' ὅτι τοῦ τὰ τεμένη τέμνεσθαι καὶ τοὺς νεὼς | κατασκάπτεσθαι τὸ καθ' ἑαυτὸν γέγονεν αἴτιος, τοκέων p. 169
δὲ κακώσεως {ὅτι} τὰ μνημεῖα αὐτῶν ἀφανίζων καὶ τῶν νομίμων ἀποστερῶν, λιποταξίου δὲ καὶ ἀστρατείας οὐ παρασχὼν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς. ἔπειτα τούτου τις 148
ἀποψηφιεῖται, καὶ συγγνώμην ἕξει τῶν κατὰ προαίρεσιν ἀδικημάτων; καὶ τίς οὕτως ἐστὶν ἀνόητος, ὥστε τοῦτον σῴζων τὴν ἑαυτοῦ σωτηρίαν προέσθαι τοῖς ἐγκαταλιπεῖν βουλομένοις, καὶ τοῦτον ἐλεήσας αὐτὸς ἀνηλέητος ὑπὸ τῶν πολεμίων ἀπολέσθαι προαιρήσεται, καὶ τῷ προδότῃ τῆς πατρίδος χάριν θέμενος ὑπεύθυνος εἶναι τῇ παρὰ τῶν θεῶν τιμωρίᾳ;

Ἐγὼ μὲν οὖν καὶ τῇ πατρίδι βοηθῶν καὶ τοῖς ἱεροῖς καὶ 149
τοῖς νόμοις, ἀποδέδωκα τὸν ἀγῶνα ὀρθῶς καὶ δικαίως, οὔτε τὸν ἄλλον τούτου βίον διαβαλών, οὔτ' ἔξω τοῦ πράγματος οὐδὲν κατηγορήσας· ὑμῶν δ' ἕκαστον χρὴ νομίζειν τὸν Λεωκράτους ἀποψηφιζόμενον θάνατον τῆς πατρίδος καὶ ἀνδραποδισμὸν καταψηφίζεσθαι, καὶ δυοῖν καδίσκοιν κειμένοιν τὸν μὲν προδοσίας, τὸν δὲ σωτηρίας εἶναι, καὶ τὰς ψήφους φέρεσθαι τὰς μὲν ὑπὲρ ἀναστάσεως τῆς πατρί-

5 ab *ἐγκατα-* deficit N (*-λιπὼν* add. al. m.) || **7** *ὅτι . .* A^{pr} | *τῆς* om. A || **8** *ὅτι το . . . . μένη* A^{pr} || **9** *γονέων* pro *τοκέων* 'poetic word' Sandys, CR 14, 1900, 66, sed cf. Demosth. 35, 48 || **10** *ὅτι* del. Morus *ἅτε* Rehd. || **11** *ἀπ.* ⟨*εἴληπται*⟩ sive ⟨*ἤλεγκται*⟩ Rei. | *λιποτ.* Es, cf. Gebhardt, Adnot. crit. 11–13: *λειπ.* || **12** *τις* A: *τίς* apogr. || **14** *τίς οὕτως* Dobr. cf. etiam Gebauer, Argum. ex contr. VII–VIII (*τίς τοσοῦτον* Scal.): *τοσοῦτον* | *ἐστὶν*] *ἔσται* Tayl. | *. . τε τοῦτον* in lac. 4 litt. a corr. A || **15** *σῴζων* Ald.: *σῴζοντα* || **16** *ἀνηλ-* Bk.: *ἀνελ-* || **25** *-ποδισμὸν* Bk.: *-πόδων* | *καδί-* Osann: *καδδί-* || **26** *εἶναι, καὶ* Emperius: *εἵνεκα*

δος, τὰς δ᾽ ὑπὲρ ἀσφαλείας καὶ τῆς ἐν τῇ πόλει εὐδαιμονίας.
150 *ἐὰν μὲν Λεωκράτην ἀπολύσητε, προδιδόναι τὴν πόλιν καὶ τὰ ἱερὰ καὶ τὰς ναῦς ψηφιεῖσθε· ἐὰν δὲ τοῦτον ἀποκτείνητε, διαφυλάττειν καὶ σῴζειν τὴν πατρίδα καὶ τὰς προσόδους καὶ τὴν εὐδαιμονίαν παρακελεύσεσθε. νομίζοντες οὖν ὦ Ἀθηναῖοι, ἱκετεύειν ὑμῶν τὴν χώραν καὶ τὰ δένδρα, δεῖσθαι τοὺς λιμένας ⟨καὶ⟩ τὰ νεώρια καὶ τὰ τείχη τῆς πόλεως, ἀξιοῦν δὲ καὶ τοὺς νεὼς καὶ τὰ ἱερὰ βοηθεῖν αὐτοῖς, παράδειγμα ποιήσατε Λεωκράτη, ἀναμνησθέντες τῶν κατηγορημένων, {καὶ} ὅτι οὐ πλέον ἰσχύει παρ᾽ ὑμῖν ἔλεος οὐδὲ δάκρυα τῆς ὑπὲρ τῶν νόμων καὶ τοῦ δήμου σωτηρίας.*

1 *τῶν ἐν τῇ πόλει* ci. Bk., sed cf. Hyper. 1, 39, 14 ss. || **2** *μὲν* ⟨*γὰρ*⟩? Bl. | *Λεωκράτη* A || **3** *τὰς ναῦς*: *τοὺς νεὼς* Morus, cf. v. 8, *τοὺς νόμους* Schöne || **5** *-λεύσεσθε* Ald.: *-λεύεσθε* || **7** *δεῖσθαι* ⟨*δὲ*⟩ Dobr. Es | ⟨*καὶ*⟩ *τὰ* Sch. | *καὶ*² del. Bl. || **9** *Λεωκράτην* Heinr. || **10** *ὅτι* Morus: *καὶ ὅτι* || **11** *ὑπὲρ* del. Tayl. || **12** *τιμωρίας* Sch. auctore Rei. sed v. Gebhardt, Adnot. crit. 46 ss. | *κατὰ Λεωκρ. Λ.* A

FRAGMENTA

I. ΑΠΟΛΟΓΙΣΜΟΣ ΩΝ ΠΕΠΟΛΙΤΕΥΤΑΙ

TESTIMONIA

[Plut.] Vit. X orat. 842 f: *μέλλων δὲ τελευτήσειν, εἰς τὸ μητρῷον καὶ τὸ βουλευτήριον ἐκέλευσεν αὑτὸν κομισθῆναι, βουλόμενος εὐθύνας δοῦναι τῶν πεπολιτευμένων· οὐδενὸς δὲ κατηγορῆσαι τολμήσαντος πλὴν Μενεσαίχμου, τὰς διαβολὰς ἀπολυσάμενος εἰς τὴν οἰκίαν ἀπεκομίσθη κτέ.*

FRAGMENTA

1. Harpocr. s. v. *δερματικόν· Λ. ἐν τῷ ἐπιγραφομένῳ* 1 Bl.
Ἀπολογισμὸς ὧν πεπολίτευται. δερματικὸν ἂν εἴη λέγων ὁ ῥήτωρ τὸ ἐκ τῶν δερματίων τῶν πιπρασκομένων περιγιγνόμενον ἀργύριον.

2. Harpocr. s. v. *ἑδωλιάσαι· Λ. ἐν τῷ ἐπιγραφομένῳ* 2
Ἀπολογισμὸς ὧν πεπολίτευται ἐπὶ τοῦ συγκαθίσαι. καὶ ἑδώλια αἱ ἐν ταῖς ναυσὶ καθέδραι. Ἡρόδοτος α΄ (1, 24).

I Hanc orationem eandem esse atque *πρὸς Δημάδην ἀπολογίαν* ci. Kiessl. Saup. sed v. Bl., praef. p. XLII–XLIII. E testimonio non videtur hanc orationem fuisse forensem et convenit inscriptum *ἀπολογισμός*; v. etiam Conomis, Klio 39, 1961, 50 || fr. **1** Phot. (z) Suda s. v. (ex Epit.); cf. A. Boeckh, Staatsh.[3] 2, 107–108; Conomis, Klio 39, 1961, 80–81 || fr. **2** cf. Poll. 4, 121; Phot. (z) Suda s. v. (ex Epit.) *–συγκαθίσαι*: – Et^{G} = Et^{M} 317, 7 al.; de theatro a Lycurgo exstructo cogitandum videtur, non de navibus, v. Conomis, Klio 39, 1961, 81–82

9–10 *Λ. . . . πεπολίτευται* non om. **R** || **11** *περιγιγν.* **R**: *περιγιν.* (*περιγεν.* **C**) cett. Ddf.; om. cum **B** Bl., sed cf. Arr. An. 7, 17, 4 || **13–14** *Λ. . . . ἐπὶ τοῦ* om. Poll. Phot. Suda | *συγκαθίσαι* Epit.: *καθέζεσθαι* cett., sed *συγκαθίζειν* etiam Poll. Phot. Suda Et^{G} = Et^{M}

3 **3.** Harpocr. s. v. *Ἑκατόμπεδον* · *Λ. ἐν τῷ ἐπιγραφομένῳ Ἀπολογισμὸς ὧν πεπολίτευται. ὁ Παρθενὼν ὑπό τινων Ἑκατόμπεδος ἐκαλεῖτο διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος, ὡς Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ Περὶ Ἀθηνῶν* (FGrHist 370 F 3).

4 **4.** Harpocr. s. v. *νεώρια καὶ νεώσοικοι* · *μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας εἰς ὃν ἀνέλκονται αἱ τριήρεις καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε ἐν Ἀπολογισμῷ ὧν πεπολίτευται καὶ Ἀνδοκίδης ἐν τῷ Περὶ τῆς εἰρήνης* (3, 7), *εἰ γνήσιος ὁ λόγος.*

5 ***5.** Rutil. Lup. 1, 7 s. schema *ἐπιβολή* . . . . . Lycurgi: *nam cum iuventus concitata temere arma caperet et quietos Thessalos manu lacessere conaretur, {iure} ego senatum coegi auctoritate sua comprimere adulescentium violentiam; ego quaestoribus interminatus sum ne sumptum stipendio praeberent; ego armamentario patefacto restiti atque efferri arma prohibui. itaque unius opera mea non concitatum bellum non necessarium scitis.*

II. ΚΑΤ᾿ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ

TESTIMONIA

1. Phot. Bibl. cod. 265 (p. 491a 35 Bk.) . . . *καὶ γὰρ ἀπολογούμενος* (sc. *Ἀριστογείτων*) *οὐκ ἐν τῷ παρέργῳ ἀλλ᾿ ἐπιμελῶς ἀνταγωνιζόμενος ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπι-*

fr. 3 Phot. (z) Suda s. v. *ἑκατ-ς νεώς* (ex Epit.); cf. Conomis, Klio 39, 1961, 83–84 || fr. 4 Phot. Suda s. v. (ex Epit.); cf. decr. 852 c; Conomis, Klio 39, 1961, 84–85 || fr. 5 ad hanc orat. rettulit Saup., sed ipsa res ignota; cf. Conomis, Klio 39, 1961, 85 || **II** De Aristogitone v. Kirchner, P. A. 1775; R. Sealey, Who was Aristogeiton?, Univ. of London Institute of Class. Studies, Bulletin 7, 1960, 33–43

3 *Ἑκατ.* om. BCV || 4 *Καλλικράτης* Dfd.: *–στράτης* || 9 *ἐν Ἀπ. ὧν πεπ.* om. Phot. Suda || 13 *ego sen.* Sch.: *iure ego sen.* Cb, *iure ergo sen.* Ald. || 17 ⟨*compressum,*⟩ *non concitatum* R. Steph.

γέγραπται Ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους. cf. Suda s. v. *Ἀριστογείτων.*

2a. [Demosth.] *Κατ' Ἀριστογείτονος Α,* Arg. 4 (Libanii; Foerster 8, 643 s.) . . . 6 *δοκῶν οὖν ἔχειν ὁ Ἀριστογείτων τοῦ λέγειν ἐξουσίαν καὶ μηκέτ' ὀφείλειν, ἐπειδὴ χρήστην ἀντέδωκε τῇ πόλει, καὶ ἐγράφετο πολλοὺς καὶ ἐδημηγόρει, τῶν νόμων τὸν ὀφείλοντα τῷ δημοσίῳ, μέχρις ἂν ἐκτείσῃ, ποιούντων ἄτιμον. διόπερ αὐτὸν οἱ περὶ Λυκοῦργον ἐνέδειξαν ὡς οὐκ ἐξὸν λέγοντα.* (7) *οὐκ ἐξαληλιμμένου τοίνυν ἐξ ἀκροπόλεως Ἀριστογείτονος, ἀλλ' ἔτι τοῦ ὀφλήματος ἐγγεγραμμένου, χρήστου δὲ καταστάντος τοῦ τὸ χωρίον ὠνησαμένου, ζήτημα συνίσταται, πότερον ὁ πριάμενος τὸ χωρίον ὀφείλει μόνον ἢ καὶ ὁ πρῶτος ὀφλών, ἄχρις ἂν ἐκτεισθῇ τὸ χρέος.* (8) *περὶ μὲν δὴ τὰ δύο ὀφλήματα τοῦτο συνίσταται τὸ ζήτημα· φασὶ δὲ αὐτὸν οἱ κατήγοροι καὶ τρίτον ὀφείλειν ὄφλημα τῷ δημοσίῳ. πρὸς τοῦτ' Ἀριστογείτων ἀνθιστάμενός φησιν ἀδίκως ἐγγεγράφθαι, καὶ διὰ τοῦτο δίκην λαχεῖν Ἀρίστωνι τῷ ἐγγράψαντι.* (9) *Δημοσθένης δὲ καὶ Λυκοῦργος περὶ μὲν τοῦ δικαίαν ἢ μὴ γεγενῆσθαι τὴν ἐγγραφὴν οὐδὲν λέγουσι, φασὶ δέ· „ὅταν ἕλῃ τὸν Ἀρίστωνα, τότε Ἀριστογείτων μὲν ἐξαλειφθήσεται, ἐκεῖνος δὲ ἐγγραφήσεται κατὰ τὸν νόμον· πρὶν δὲ κριθῆναι τὸ πρᾶγμα οὐ προσήκει λέγειν τὸν τάχα δικαίως ἐγγεγραμμένον καὶ ψευδῶς ἐγκαλοῦντα τῷ Ἀρίστωνι."* (10) *ταῦτα μὲν δὴ τὰ ζητήματα τῆς ὑποθέσεως, ἐνηγώνισται δὲ αὐτοῖς ὁ Λυκοῦργος ἅτε πρότερος λέγων· τῷ Δημοσθένει δὲ περὶ μὲν τούτων βραχὺς πάνυ λόγος γέγονεν ὡς προειλημμένων, ὁ δὲ ὅλος αὐτῷ λόγος τοῦ Ἀριστογείτονος βίου κατηγορίαν περιέχει.* (11) . . . . *ἐπειδὴ κατὰ τὸν τῆς ἡλικίας χρόνον τὴν πρωτολογίαν ἔλαβε Λυκοῦργος καὶ πᾶσι τοῖς κεφαλαίοις αὐτὸς ἐχρήσατο, ὁ Δημοσθένης ἠναγκάσθη λοιπὸν φιλοσοφώτερον μετελθεῖν καὶ περιοδικῶς* . . . (**2b.**) Schol. Demosth. 20, 1 . . . *τῶν δὲ δευτερολογιῶν ἔστι διαφορά· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἐπίλογοι μόνον, ὥσπερ οἱ κατὰ Ἀριστογείτονος, πρωταγωνιστοῦντος Λυκούργου καὶ μικρά, μᾶλλον δὲ οὐδὲν καταλιπόντος*

εἰς ἀπόδειξιν τῶν πραγμάτων τῷ ῥήτορι κτέ. **2c.** Io. Sardiani Comm. (ed. H. Rabe) 95, 9s. *κἂν τοῖς Κατὰ Ἀριστογείτονος ὁμοίως Λυκοῦργος πρότερος καὶ ἐπ' ἐκείνῳ Δημοσθένης* (sc. *ἔφη*).

3. Demosth. *Κατ' Ἀριστογείτονος* A 1 *Πάλαι καθήμενος, ὦ ἄνδρες δικασταί, καὶ κατηγοροῦντος ἀκούων, ὥσπερ ὑμεῖς, Λυκούργου, τὰ μὲν ἄλλα καλῶς αὐτὸν ἡγούμην λέγειν, ἓν δὲ τεθαύμακα ὁρῶν ὑπερδιατεινόμενον, εἰ ἀγνοεῖ κτέ.* **4a.** Demosth. ibid. 14 *τὰ μὲν οὖν περὶ τῆς ἐνδείξεως καὶ τῶν νόμων δίκαια αὐτόν, ὅπερ πεποίηκεν, Λυκοῦργον ἐρεῖν ἡγούμην, καὶ τοὺς μάρτυρας τῆς πονηρίας τῆς τούτου τοῦτον ἑώρων προσκαλούμενον.* **4b.** ibid. 38 *δύο ἔτη βιάζεται λέγειν οὗτος* (sc. *Ἀριστογείτων*), *οὐκ ἐξὸν αὐτῷ, ἀλλὰ λέγει γ' ὅμως. ἔπειτ' ἐν τούτοις τὸν μὲν . . . . . . καὶ ὅσων ἄλλων κατηγόρηκε παρ' ὑμῖν, εἶδ' ἀδικοῦντας τὴν πόλιν, ἐμὲ δ' οὐχ ἑώρα τὸν ῥήτορ', ᾧ ἐπολέμει, οὐδὲ τὸν Λυκοῦργον οὐδὲ τοὺς ἄλλους . . .* **4c.** ibid. 54 *δεινῶν γὰρ ὄντων, οὐ μὲν οὖν ἐχόντων ὑπερβολήν, ὧν ἠκούσατ' ἄρτι λέγοντος Λυκούργου, τὰ λοίπ' ἐνάμιλλα τούτοις καὶ τῆς αὐτῆς φύσεως εὑρεθήσεται* (e sequentibus videtur Lyc. Aristog. *ἀσεβείας δίκην* accusavisse, de qua cf. Din. 2, 8. 11. 14. 18. 20). **4d.** ibid. 69 *ἡγοῦμαι τοίνυν καὶ περὶ τῆς ἐνδείξεως, ἅ μοι παραλείπειν ἔδοξε Λυκοῦργος, βέλτιον εἶναι πρὸς ὑμᾶς εἰπεῖν.* **4e.** ibid. 97 *Λυκοῦργος μὲν οὖν τὴν Ἀθηνᾶν ἐμαρτύρετο καὶ τὴν μητέρα τῶν θεῶν . . .* **4f.** id. *Κατ' Ἀριστογείτονος* B 16 *ὅτι μὲν γὰρ πονηρὸς καὶ τὸν τρόπον δεινῶς ἄδικος, ἱκανῶς ὑμῖν, ὡς ἔγωγ' οἶμαι, ἐκ τῶν προειρημένων Λυκοῦργος ἐπιδέδειχεν.*

5. Dinarch. 2, 13 *οὐ τὸ τελευταῖον οὗτος* (sc. *Ἀριστογείτων*) *ἐνδειχθεὶς ὑπὸ Λυκούργου καὶ ἐξελεγχθείς, ὀφείλων τῷ δημοσίῳ λέγειν οὐκ ἐξὸν αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων . . . . καὶ εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;*

FRAGMENTA

1. Harpocr. s. v. *Μητρῷον·* *Λυκοῦργος ἐν τῷ Κατ'* 6
Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαν-
τες ἐν τῷ Μητρῴῳ. δηλοῖ Δείναρχος ἐν τῷ Κατὰ
Πυθέου ($_2$VI, 10).

2. Harpocr. s. v. *ἀγραφίου·* *εἶδός τι δίκης οὕτω κα-* 7
λουμένης κατὰ τῶν ὀφειλόντων μὲν τῷ δημοσίῳ καὶ διὰ
τοῦτο ἐγγραφέντων, εἶτα πρὶν ἐκτεῖσαι ἐξαλειφθέντων. δι-
δάσκουσι δὲ τοῦθ' οὕτως ἔχειν Δημοσθένης τε (58, 51) *ἢ*
Δείναρχος ἐν τῷ Κατὰ Θεοκρίνου ($_1$XVI^a) *καὶ Λυκοῦργος ἐν*
τῷ Κατ' Ἀριστογείτονος, ἔτι τε Πυθέας ἐν τῇ Πρὸς τὴν
ἔνδειξιν ἀπολογίᾳ (fr. 2).

3. Harpocr. s. v. *ἡλικία τῆς πόλεως·* *ἀντὶ τοῦ οἱ* 8
ἐν ἡλικίᾳ, οἱ νέοι· Λυκοῦργος Κατ' Ἀριστογείτονος καὶ
Δημοσθένης Φιλιππικοῖς (4, 7).

4. Harpocr. s. v. *ὄρυγμα·* *ἰδίως οὕτως ἐκαλεῖτο ἐφ'* 9
οὗ οἱ κακοῦργοι ἐκολάζοντο Ἀθήνησι· Λυκοῦργος Κατ'
Ἀριστογείτονος.

5. Harpocr. s. v. *τρίγωνον δικαστήριον·* *Λυκοῦρ-* 10
γος Κατ' Ἀριστογείτονος. ὄνομά ἐστι δικαστηρίου, ἴσως
καὶ τῷ σχήματι τριγώνου ὄντος . . .

II fr. 1 Phot. Suda s. v. (ex Epit.); cf. etiam Liban. argum. or. 25 || **fr. 2** cf. Suda s. v. 1 (ex Epit.) et Phot. s. v.; Bachm. anecd. 15, 24 (= Bk. *Λέξ. ῥητ.* 331, 21) al.; cf. Latte, Hesychii Lexicon, s. v.; [Demosth.] 57, 51 s.; Lipsius, A. R. 447 ss.; P. Photiades, *Συμβολαὶ εἰς τὸ Ἀττ. δίκαιον, Ἀθηνᾶ* 11, 1899, 7 ss.; Conomis, Klio 39, 1961, 88 || **fr. 3** Phot. Suda s. v. (ex Epit.); Et^G al. || **fr. 4** Phot. Suda s. v. (ex Epit.) || **fr. 5** Phot. Suda s. v. (ex Epit.); Et^G; cf. Bk. *Λέξ. ῥητ.* 307, 12. 309, 25 Hsch.

2 *νόμους* Epit.: *νόθους* | *ἀναγράψαι* Epit. || **6–7** *καὶ διὰ τοῦτο ἐγγρ.* om. Bl., fort. recte || **7** *ἐκτεῖσαι* Bl.: *ἐκτῖσαι* || **8** *τε ἢ* Vales.: *τε καὶ* || **10** *Πυθέας* Maussac: *Πυθίας* || **12–14** om. C || **12** *τῆς πόλ.* add. Epit. || **12–13** *τοῦ οἱ ἐν* Ddf. (*οἱ* add. e Suda): *τοῦ ἐν* || **13** *Λυσίας* Epit. || **15–16** *ἐφ' οὗ*] *ἀφ' οὗ* C, *ὅπου* ci. Saup. cl. Suda s. v. *βάραθρον*, sed cf. s. v. *ὄρυγμα* || **18–20** om. C || **18** *Λυκ.* om. BV || **20** *ὄντα* A

11 **6.** Harpocr. s. v. *χιλιωθέντα· Λυκοῦργος ἐν τῷ Κατ' Ἀριστογείτονος, ἀντὶ τοῦ χιλίας ὀφλόντα* . . . cf. fr. IX. 4.

12 **7.** Harpocr. s. v. *ψευδεγγραφή· ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ {ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ}. Λυκοῦργος ἐν τῷ Κατ' Ἀριστογείτονος καὶ Ἰσαῖος ἐν τῷ Πρὸς Μέδοντα* (XXIX Thalh.) *μνημονεύουσι τοῦ ὀνόματος.*

III. ΚΑΤ' ΑΥΤΟΛΥΚΟΥ

TESTIMONIA

1 a. Harpocr. s. v. *Αὐτόλυκος· Λυκούργου λόγος ἐστὶ κατ' Αὐτολύκου τοῦ Ἀρεοπαγίτου. οὗτος δὲ τοὺς οἰκείους ὑπεκτιθέμενος ἐν τοῖς Χαιρωνικοῖς ἑάλω, καὶ κατεψηφίσαντο αὐτοῦ οἱ δικασταί, ὡς ὁ αὐτὸς δηλοῖ ῥήτωρ ἐν τῷ Κατὰ Λεωκράτους* (p. 51, 14); cf. Bachm. anecd. 166, 22 (= Bk. anecd. 466, 3.) **1 b.** [Plut.] vit. X orat. 843d *γραψάμενος* (sc. *ὁ Λυκοῦργος*) *δ' Αὐτόλυκον τὸν Ἀρεοπαγίτην καὶ Λυσικλέα τὸν στρατηγὸνκαὶ Δημάδην τὸν Δημέου καὶ Μενέσαιχμον ἄλλους τε πολλούς, πάντας εἷλεν.*

fr. 6 Phot. (z) Suda s. v. (ex Epit.); cf. Bk. *Λέξ. ῥητ.* 315, 30 al.; etiam Liban. (supra ad 6) § 2 de Hegemonis accusatione (Jenicke) || **fr. 7** Phot. (z) Suda s. v. (ex Epit.); cf. Bk. *Λέξ. ῥητ.* 317, 7. Photius (z) etiam praebet: *ψευδὴς ἐγγραφή· τοῦτο μὲν ὄνομα δίκης. ζητήσειε δ' ἄν τις τίνι διαφέρει ψευδεγγραφὴ ⟨βουλεύσεως⟩. βουλεύσεως γὰρ διαφέρον τίθησιν ὁ Λυκοῦργος. τάχα οὖν ψευδεγγραφῆς μὲν ἐλάγχανον οἱ μὴ ὀφείλοντες μέν, ἐγγραφέντες δὲ ψευδῶς· βουλεύσεως δὲ οἱ πάλαι μὲν ὀφληκότες, ἀποδόντες δὲ καὶ αὖθις κατ' ἐπιβουλὴν ψευδῶς ἐγγραφέντες* et paulo supra *ψευδεγγραφή· βουλεύσεως*; cf. Demosth. 25, 71 ss.; Liban. argum. § 8 || **III** test. **1 a** cf. Phot. (z) Suda s. v. (ex Epit.)

2 *χιλίας ὀφλόντα* **EDZ** Vales. e Bk. *Λέξ. ῥητ.* 315, 10: *χίλια σοφὰ ὄντα* || **5** *αὐτὸν* Suda || **6** *ὡς ἀδίκως . . . δημοσίῳ* ut gl. secl. Photiades, l. c., 9 n. 2

1c. ibid. **843e** *ὁ δ' εὐθύνας Ἀριστογείτονα καὶ Λεωκράτην καὶ Αὐτόλυκον δειλίας.*

2. Lyc. c. Leocr. arg. *ἔοικε δὲ ἡ τοῦ λόγου ὑπόθεσις τῇ τοῦ κατὰ Αὐτολύκου.*

3. Lyc. c. Leocr. p. 51, 14 ss. *ἀλλὰ μὴν Αὐτολύκου γε ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱεῖς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρήσασθε.*

FRAGMENTA

1. Schol. Demosth. 54, 1 (= [Cornuti] *τέχνη ῥητ.* § 7, **13**
p. 353, 24 Hammer) *ἀπὸ τοῦ πράγματος (λαμβάνεται προοίμιον) ὡς Λυκοῦργος ἐν τῷ Κατὰ Αὐτολύκου· πολλῶν καὶ μεγάλων ἀγώνων εἰσεληλυθότων οὐδέποτε περὶ τηλικούτου δικάσοντες ἥκετε.*

2. Suda s. v. *μηλόβοτος χώρα· ὑπὸ πολεμίων ἐξ-* **14**
ερημωθεῖσα, ἣν κατανέμεται τὰ τετράποδα. κεῖται δὲ τοὔνομα καὶ παρὰ {τῷ} Λυκούργῳ ἐν τῷ Κατ' Αὐτολύκου. ἀλλὰ καὶ μηλόβοτον τὴν Ἀττικὴν ἀνῆκε . . .

3. Harpocr. s. v. *ἠρία· Λυκοῦργος ἐν τῷ Κατ' Αὐτο-* **15**
λύκου. ἠρία εἰσὶν οἱ τάφοι, ὡς καὶ αὐτὸς ὁ ῥήτωρ δῆλον ποιεῖ . . .

fr. **1** cf. Anon. Walz 7, 54 (ipsa verba orat. om.) || fr. **2** e Rhet., v. Suda ad loc.; cf. Phot. s. v.; etiam c. Leocr. p. 88, 11 || fr. **3** Phot. Suda s. v. (ex Epit. *Λ. . . . εἰσὶν* om.) al.; cf. Laur. 59, 16 ined. Adler; etiam c. Leocr. p. 75, 7

11 *καὶ*] *δὲ καὶ* [Cornut.], 'sed v. Saup. qui monet toto loco ipsa initia orationum afferri, neque aptum videri *πολλῶν δὴ*' Bl. || **12–13** *περὶ μειζόνων ἥκετε δικάσοντες* [Cornut.] || **16** *Αὐτολύκου* Osann Saup.: *Αὐτοκλέους* libri, *Λυσικλέους* Pinzger Baiter et Saup. (1834) || **17** *ἀλλὰ . . ἀνῆκε* om. **F**

IV. ΠΡΟΣ ΔΗΜΑΔΗΝ ΑΠΟΛΟΓΙΑ ΥΠΕΡ ΤΩΝ ΕΥΘΥΝΩΝ

16 **1.** Harpocr. s. v. *ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀποβατικοὶ τρόχοι· Δείναρχος Κατὰ Φορμισίου* ($_{2}$X, 1) *καὶ ἐν τῇ Πρὸς Ἀντιφάνην ἀπολογίᾳ* ($_{2}$LXIV, 1), *Λυκοῦργός τε ἐν τῇ Πρὸς Δημάδην ἀπολογίᾳ. ὁ ἀποβάτης ἱππικόν τι ἀγώνισμα, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην, καὶ ἀποβατικοὶ τρόχοι οἱ ἀπὸ τούτου τοῦ ἀγωνίσματος. τὰ δ' ἐν αὐτῷ γινόμενα δηλοῖ Θεόφραστος ἐν τῷ κ' τῶν Νόμων* (fr. ined.). *χρῶνται δέ, φησί, τούτῳ μόνοι τῶν Ἑλλήνων Ἀθηναῖοι καὶ Βοιωτοί.*

17 **2.** Harpocr. s. v. *τοὺς ἑτέρους τραγῳδοὺς ἀγωνιεῖται. Λυκοῦργος ἐν τῷ Πρὸς Δημάδην. Δίδυμός φησιν ὅτι παροιμία ἐστὶν ἐπὶ τῶν ἁρμοζομένων καὶ σεμνοποιούντων ἑαυτοὺς πρὸς τὰ ἐναντία.*

V. ΠΕΡΙ ΤΗΣ ΔΙΟΙΚΗΣΕΩΣ

18 **1a.** Harpocr. s. v. *δοκιμασθεὶς . . . ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων, εἰ καὶ μηδ' ἥντιναοῦν ἦρχον ἀρχήν· ἐξητάζετο γὰρ αὐτῶν ὁ βίος ἐνίοτε, ὡς Αἰσχίνης ἐν τῷ Κατὰ Τιμάρχου* (1, 195) *φησίν. Λυκοῦργος δ' ἐν τῷ Περὶ τῆς διοικήσεως τρεῖς δοκιμασίαι κατὰ τὸν νόμον, φησί, γίγνονται· μία μὲν ἣν οἱ ἐννέα ἄρχον-*

IV fr. 1 Bachm. anecd. 122, 20 (= Bk. anecd. 423, 33); Phot. (z) Suda s. v. (ex Epit.) al.; 'pertinuerunt haec ad Panathenaeorum sollemnia in quibus exornandis multus fuit Lyc.' Bl.; v. etiam Conomis, Klio 39, 1961, 97 || fr. 2 Phot. Suda s. v. (ex Epit., *Λ. . . . ὅτι* om., *ἐναντία, ὡς Δίδυμός φησιν*: —); 'sensus esse vid. *τὸν ἕτερον ἀγῶνα τραγικὸν* (praed.) *ἀγων.*' Bl. — '*πρὸς τὰ ἐναντία* melius verbo *ἁρμοζ.* adiungitur Bl., v. etiam Conomis, Klio 39, 1961, 97–98 || **V fr. 1 a** cf. Phot. Suda s. v. (ex Epit.) — de *δοκιμασίᾳ ἀρχόντων* cf. Arist. *Ἀθ. πολ.* 55, 2 de *δοκ. ῥητόρων* Aeschin. 1, 28 ss., de *στρατηγῶν δοκ.* Dinarch. 1, 71, de equitum sive equorum Arist. ibid. 49, 1 (Bl.), v. etiam Conomis, Klio 39, 1961, 99–100

4 *τρόχοι* bis scr. Bl.: *τροχοὶ* || **6** *Λ. . . . ἀπολογίᾳ* om. **A** || **8** *ἀπὸ*] *ἐπὶ* **N** || **12** *ἑταίρους* **BGZ** Suda || **13** *Λ. . . . Δημάδην* om. **C** Suda || **15** *τὰ ἐναντία*] *τὰν.* **C**, *τὰ ἐπιόντα* Hemst. || **18** *εἰ καὶ* Epit.: *κἂν* libri | *ἦρχον ἀρχὴν* Epit.: *ἀρχὴν ἦρχον* || **20** *τῆς* om. **C**

τες δοκιμάζονται, ἑτέρα δὲ ἣν οἱ ῥήτορες, τρίτη δὲ ἣν οἱ στρατηγοί. λέγει μέντοι ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν. ***1b.** schol. Aeschin. 1, 195 ὁ νόμος: . . φησὶ γὰρ καὶ Λυκοῦργος δοκιμάζεσθαι δεῖν οὐ πάντας ἐπὶ τῷ ἑταιρῆσαι, ἀλλὰ τοὺς πολιτευομένους ῥήτορας καὶ τὰ ψηφίσματα γράφοντας.

2. Harpocr. s. v. στεφανῶν τοὺς νενικηκότας· 19
Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (19, 193) ἀντὶ τοῦ τιμῶν. καὶ Λυκοῦργος ἐν τῷ Περὶ τῆς διοικήσεώς φησιν· ἀλλὰ μὴν καὶ Καλλισθένην ἑκατὸν μναῖς ἐστεφανώσατε. καὶ παρ' ἄλλοις ἐπὶ ταύτης τῆς ἐννοίας τὸ στεφανοῦν, ὡς . . .

3. Harpocr. s. v. Ἐπικράτης . . . ἕτερος δ' ἐστὶν Ἐπι- 20
κράτης οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ διοικήσεως, λέγων ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν.

4. Bk. Synt. 145, 30 ἐπιτροπεύω· . . . τέτριπται δὲ 21
καὶ μετὰ γενικῆς, ὡς παρὰ Λυκούργῳ ἐν τῷ Περὶ ⟨τῆς⟩ διοικήσεως· ἐκ τῶν ἱερῶν, ὧν ἡμεῖς ἐπετροπεύσαμεν.

5. Lex. Rhet. Reitz. (Ind. lect. Rostoch. 1892/3) p. 4, 22 22
ἐξοδιασμός· Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ διοικήσεως· πολλῶν δὲ χρημάτων ἐξοδιασμὸν εἰληφότων.

6. Harpocr. s. v. Ἀγαθῆς τύχης νεώς· τούτου 23
μνημονεύει Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ διοικήσεως.

fr. 2 Phot. Suda s. v. (ex Epit.); de Callisth. cf. Demosth. 20, 33 (Saup.) || **fr. 3** Phot. (z) Suda s. v. (ex Epit.); $\mathrm{Et}^{G} = \mathrm{Et}^{M}$ 361, 3 al.; cf. Wilamowitz, Arist. u. Ath. 1, 194; Conomis, Klio 39, 1961, 101–102; Pélékidis, Hist. de l'éphébie attique 13 || **fr. 6** Phot. (zb) Suda s. v. (ex Epit. Ἀ. τ. ν.· οὐκ ἄδηλον τὸ σημαινόμενον); cf. IG II^2 333c 19

1 δὲ om. **BGZ** || **9** τῆς **A** (Ald.) om. **BCG** || **10** Καλλισθένην Epit.: -ης | ρ' μναῖς ἐστεφανώσατε om. libri, habet Epit. || **15** χαλκοῦν **ARV** (Ald.) || **15–16** λέγων . . . ἐφήβων om. Epit. || **19** ὡς παρὰ Λ. Bk.: ὥσπερ Λ. || **25** ἀγαθοτύχης **CGH** || **26** οἰκήσεως **BCFGHV**

24 **7.** Harpocr. s. v. *αἰγίδας ἐκάλουν τὰ ἐκ τῶν στεμμάτων δίκτυα· Λυκοῦργος ἐν τῷ Περὶ τῆς διοικήσεως καὶ Νυμφόδωρος* (FGrHist 572 F 15). *Ἡρόδοτος δ' ἐν δ'* (4, 189, 2) *ταύτας φησὶν ὑπὸ Λιβύων αἰγέας καλεῖσθαι.*

25 **8.** Harpocr. s. v. *Λυσίμαχος· . . . ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ Περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.*

26 **9.** Harpocr. s. v. *ὀχεῖον· . . . Λυκοῦργος δ' ἐν τῷ Περὶ τῆς διοικήσεως γείτονας τοῦ ὀχείου φησί· μήποτε δὲ ἐπὶ τόπου τινός, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.*

27 **10.** Harpocr. s. v. *σείρινα· Λυκοῦργος Περὶ τῆς διοικήσεως. σείριον ἐκάλουν λεπτὸν ἱμάτιον ἀσπάθητον, οἷον θέριστρον, καθά φασιν οἱ γλωσσογράφοι. καὶ σειρὴν δὲ ὁ λεπτὸς καὶ διαφανὴς χιτών, εὔθετος τότε ὅτε ἐστὶν ὁ Σείριος. ἔστι δὲ καὶ Σεῖρις πόλις Ἰταλική, καὶ τάχα τὰ ἔνθεν ὑφάσματα ἤ τινα ἄλλα σείρινα εἶπεν ὁ ῥήτωρ. ἐν ἐνίοις μέντοι χωρὶς τοῦ ε γράφεται σίρινα.*

VI. ΠΕΡΙ ΤΗΣ ΙΕΡΕΙΑΣ

28 **1.** Harpocr. s. v. *παράκλησις· ἀντὶ τοῦ προτροπή· . . . τίθεται μέντοι σπανίως καὶ ἀντὶ τῆς δεήσεως· Λυκοῦργος*

fr. 7 cf. Phot. (zb) Suda s. v. *αἰγίς* (leviter mutatis Epit. verbis, cf. Bachm. anecd. 42. 4 [= Bk. anecd. 354, 4] al.); IG II[2] 333 c 11 || fr. 8 Phot. Suda s. v. (ex Epit.) || fr. 9 Suda s. v. (ex Epit.); cf. Hsch. Phot. s. v.; etiam Bk. *Λέξ. ῥητ.* 287, 32 unde EtM 645, 12 || fr. 10 Phot. s. v. *Σειρῆνα*; Suda s. v. *σείρινον* (ex Epit.); cf. Hsch. s. vv. *σειρήν, σειρῆνες, σειρόν.* || VI de argum. v. Sauppe, O. A. 2, 264; Lipsius, A. R. 465 n. 9; Conomis, Klio 39, 1961, 107 ss. || fr. 1 Phot. Suda s. v. (ex Epit. *γράψαντες. Λ. δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο λέγων· ὑμᾶς οἶμαι . . . τῆς ἐμῆς παρακλήσεως*) al.

1 *ἐκ* add. Suda Eustath. p. 603, 1 s. || 9 *τῆς δ.* **BC** (Ald.): *διοικ.* || 13 *σείριον* Saup.: *σειρῆνας. σειρίον* **ABCGVR** (Ald.) *σέρινα. σήριον* Epit. *σειρῆνα σείριον* Phot. *σείριον σείρινον* Suda || 18 *χωρὶς τοῦ ι γρ. σέρινα* Epit. (Ald.)

ἐν τῷ Περὶ τῆς ἱερείας προειπὼν εἰ μὲν ὑπὲρ ἰδίου τινὸς ἦν ὁ ἀγών, ἐδεόμην ἂν ὑμῶν μετ' εὐνοίας ἀκοῦσαί μου· μετ' ὀλίγον φησίν· νυνὶ δὲ αὐτοὺς ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως.

2. Harpocr. s. v. *ἐπιτελεοῦν καὶ ἐπιτελέωμα· ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα ἐν τῷ Περὶ τῆς ἱερείας Λυκούργου· ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὸ ἐπὶ πᾶσι θυόμενον ὑπὲρ τοῦ ἐπιτελεῖς γενέσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ λόγῳ φησίν· ἔτι τοίνυν ἔφη πάντων ὕστατα ταῦτα θύεσθαι καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων θυμάτων.* **29**

3. Harpocr. s. v. *Μίκων· Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. καὶ Μίκωνα τὸν γράψαντα †ἕως τοὺς λ' μῆνας ἐζημίωσαν.* **30**

4. Suda s. v. *συσσημαίνεσθαι· ὃ καλοῦσι κατασφραγίζεσθαι, τοῦτο οἱ ῥήτορες συσσημαίνεσθαι λέγουσι. Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ ἱερείας· ὥστε προστεταγμένον ὑπὸ ψηφίσματος καὶ τὴν ἱέρειαν συσσημαίνεσθαι τὰ γραμματεῖα . .* **31**

5. Priscian. 18, 267 (p. 346,3 Hertz) *Attici* 'περὶ τόσους' *καὶ* 'περὶ τόσοις'. – – *Lycurgus ἐν τῷ Περὶ τῆς ἱερείας· ὡς περ⟨ὶ⟩ εἴκοσιν ἀνθρώποις . . .* **32**

fr. 2 cf. Phot. Suda s. v. (ex Epit.); Et^{G} = Et^{M} 365, 47 (e Lex. Vind. ed. Nauck 59, 13 quod Demostheni adscribit) || **fr. 3** cf. C. Robert, Marathonschlacht in der Stoa Poikile, Winckelmannsprogramm, Halle 1895, 18, 1; Kirchner, P. A. 10200; G. Lippold, RE XV 2, 1932, 1557–1561 || **fr. 4** cf. Bk. *Λέξ. ῥητ.* 305, 14; Lex. Vind. 165, 1.

1 *ὑπὲρ*] *περὶ* **C** || **2** *ὑμῶν* om. **BCV** | *καὶ μετ'* **C** || **4** *τοῦτο* om. **BCV** || **5** *τῆς ἐμῆς παρ.* Epit. **QPMNK** *τῆς ἡμῶν παρ.* **RCV** *παρ. τῆς ἐμῆς* **ARV** || **9** *ἐπιτελεῖς γενέσθαι*] *τέλεια* (*τελείας* Suda) *γίνεσθαι* Epit. || **10** *ἔτι τοίνυν ἔφη* om. **B** || **14–15** *ἕως τοὺς λ' μῆνας* libri: *ἕως τὰς τριάκοντα μνᾶς* Maussac, ⟨*καταδ*⟩*εῶς τοὺς Ἕλληνας* Saup., cl. Sopatro (Walz 8, 126) 'recte fere ad sententiam' (Bl.) ⟨*τῶν βαρβάρων*⟩ *ἑαυτοὺς μείονας* Müller || **15** *ἐζημίωσας* **BC** || **16** *κατασφραγίζεσθαι* Lex. Vind.: *-σασθαι* Suda || **18** *τῆς* add. Saup. | *ὥς γε* ci. Saup. || **19** *ὑπὸ* Bl. cl. c. Leocr. p. 34, 23: *ἐπὶ* || **23** *ὡς περὶ* **O** Krehl: *ὥσπερ* **RMV** *ὧν περὶ* cett. | *ἀνθρώπους* **O**

83 **6.** Harpocr. s. v. *Ἀλόπη·* *Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας· Κερκύονος θυγάτηρ, ἐξ ἧς καὶ Ποσειδῶνος Ἱπποθῶν ὁ τῆς Ἱπποθωντίδος φυλῆς ἐπώνυμος, ὡς . . .*

84 **7.** Harpocr. s. v. *διήλλαξεν·* *ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησεν. Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας.*

85 **8.** Harpocr. s. v. *ἐπίβοιον·* *Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. Φιλόχορος δ' ἐν β'* (FGrHist 328 F 10) *φησὶν οὕτως· 'ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ θύειν οἶν, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον' . . .*

86 **9.** Harpocr. s. v. *ἐπιμήνια·* *Λυκοῦργος ἐν τῷ Περὶ τῆς ἱερείας. ἔοικεν εἶναι ἐπιμήνια ἤτοι τὰ καθ' ἕκαστον μῆνα θυόμενα ὑπὲρ τῆς πόλεως, ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.*

87 **10.** Harpocr. s. v. *ἐσχάρα·* *Λυκοῦργος ἐν τῷ Περὶ ⟨τῆς⟩ ἱερείας. Ἀμμώνιος ἐν τοῖς Περὶ βωμῶν* (FGrHist 361 F 1) *ἐσχάραν φησὶ καλεῖσθαι τὴν μὴ ἔχουσαν ὕψος {ὡς} ἑστίαν, ἀλλ' ἐπὶ γῆς ἱδρυμένην κοίλην, παρ' ὃ καὶ τοὺς ἰατροὺς τὰ ἐν τοῖς σώμασι κοῖλα ἕλκη ἐσχάρας καλεῖν.*

88 **11.** Harpocr. s. v. *Ἐτεοβουτάδαι·* *Λυκοῦργος ἐν τῷ*

fr. 6 Bachm. anecd. 71, 20 (= Bk. anecd. 380, 10); Phot. (zb) Suda s. v. (ex Epit.) || fr. 7 Phot. (z) Suda s. v. (ex Epit. – *ἐτελεύτησεν*: –) al. || fr. 8 Phot. (z) Suda s. v. (ex Epit.); Et^{G} = Et^{M} 358, 11 al. || fr. 9 Phot. (z) Suda s. v. (ex Epit. *Λ. . . . ἤτοι* om.); Et^{G} = Et^{M} 362, 14; cf. Bk. *Λέξ. ῥητ.* 254, 12; Ambr. 1539 || fr. 10 Phot. Suda s. v. (ex Epit.) al.; cf. schol. K 418 = Lex. rhet. ap. Et^{M} 384, 13; Bk. *Λέξ. ῥητ.* 256, 32; Ammon. p. 44 al. || fr. 11 cf. Phot. Suda s. v. (non omnino ab Epit. pendent, v. Ddf. Harpocr. ad loc.) al.; cf. etiam Hsch.; Bk. *Λέξ. ῥητ.* 257, 4; Et^{G} = Et^{M} 386, 3

2–3 *Ἱπποθῶν . . . Ἱπποθωντίδος* Saup.: *Ἱπποθόων . . . Ἱπποθοωντίδος* || 4 'additum fuerit *τὸν βίον*, dictumque velut de Hercule (Isocr. 6, 17 *Ἡ. μετήλλαξε τὸν βίον, θεὸς ἐκ θνητοῦ γενόμενος*), sive de aliis quibuscumque' (Bl.), v. ad c. Leocr. p. 50, 11 || 9 *Πανδρόσῳ* **BCPQV** *Πανδρύσῳ* **MRXB**^{pc}**GZ**: *Πανδώρᾳ* **QPNAV** (in mg. **MKX**) | *οἶν* Bl.: *ὄιν* **C** *ὄιν μετὰ βοὸς* **ABPQVR** (Ald.) *μετὰ βοὸς ὄιν* **N** || 11 *τὰ* om. **B** || 12 *ὑπὲρ τῆς πόλ.* add. in Bk. *Λέξ. ῥητ.* 254, 12 | *τοῦ* add. Epit. || 15 *τῆς* **K** et add. Saup. || 17 *ἑστίαν* Epit.: *ὡς ἑστίαν* libri | *-μένην κοίλην* Maussac: *-μένη κοίλη*

Περὶ τῆς ἱερείας. γένος ⟨παρ'⟩ Ἀθηναίοις, οἷον οἱ ἀληθῶς ἀπὸ Βούτου· ἐτεὸν γὰρ τὸ ἀληθές. ἐκ δὲ τούτων καθίστατο ἡ ἱέρεια τῆς Πολιάδος Ἀθηνᾶς, καθά φησι Δράκων Περὶ γενῶν (FGrHist 344 F 1).

12. Harpocr. s. v. *κύρβεις· Λυκοῦργος ἐν τῷ Περὶ τῆς* **39** *ἱερείας. κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς Περὶ θεῶν* (FGrHist 244 F 107 a) *ἔχειν ἐγγεγραμμένους τοὺς νόμους κτέ.*

13. Harpocr. s. v. *Νίκη Ἀθηνᾶ· Λυκοῦργος ἐν τῷ* **40** *Περὶ τῆς ἱερείας. ὅτι δὲ Νίκης Ἀθηνᾶς ξόανον ἄπτερον, ἔχον ἐν μὲν τῇ δεξιᾷ ῥόαν, ἐν δὲ τῇ εὐωνύμῳ κράνος, ἐτιμᾶτο παρ' Ἀθηναίοις, δεδήλωκεν Ἡλιόδωρος ὁ περιηγητὴς ἐν α' Περὶ ἀκροπόλεως* (FGrHist 373 F 2).

